§. 31. 1) fabelten, mit folgendem Accus. c. Inf. 2) s. §. 9, Anm. 7. 3) *λέγεται κινεῖν*, soll bewegt haben. 4) wurde genannt. 5) Nähere Bestimmungen eines Substantivs können im Griech. auch hinter dasselbe mit Wiederholung des Artikels treten. 6) trat entgegen, traf zusammen mit. 7) besiegte. 8) sehr. 9) zeichneten sich aus. 10) hinterließ.

§. 32. *Ἂν*[1] *καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχει*[2] *ναῦν καὶ κυβερνήτην κακόν. — Σωκράτης ἔλεγε*[3]· *τοὺς μὲν ἄνδρας τοῖς τῆς πόλεως νόμοις δεῖ*[4] *πείθεσθαι*[4], *τὰς δὲ γυναῖκας τοῖς τῶν συνοικούντων*[5] *ἀνδρῶν ἤθεσιν. — Κέρβερος εἶχε*[6] *τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ*[7] *δὲ τοῦ νώτου παντοίων εἶχεν*[6] *ὄφεων κεφαλάς. — Φαρνάβαζος καὶ Κόνων μετὰ τὴν ἐπὶ Κνίδῳ ναυμαχίαν ἀνήχθησαν*[8] *ταῖς ναυσὶν ἐπὶ τοὺς τῶν Λακεδαιμονίων συμμάχους. — Κύκλωπες εἰς τὸν πρὸς Τιτᾶνας πόλεμον Διὶ μὲν ἔδοσαν*[9] *βροντὴν καὶ ἀστραπήν, Πλούτωνι δὲ κυνῆν, Ποσειδῶνι δὲ τρίαιναν.*

§. 32. 1) *ἂν ἔχῃ τις*, wann einer hat. 2) so hat er. 3) sagte. 4) *δεῖ πείθ.*, sollen gehorchen. *Δεῖ* wird wie oportet mit dem Accus.

c. Inf. verbunden. 5) der zusammenlebenden (Particip von συνοικέω), d. h. mit ihnen verheirateten. 6) hatte. 7) über den Rücken herab, d. i. auf dem R. 8) segelten. 9) gaben.

VII.

Adjectiva.

§. 33. *Ἄδικος πλοῦτος οὐπώποτε βέβαιος. — Τῆς Ἀρτέμιδος ἱεραὶ*[1] *ἦσαν αἱ ἔλαφοι*[2]. — *Ἡρακλῆς καθαρὰν τὴν γῆν ἀγρίων θηρίων ἐποίησεν*[3]. — *Οὐ βέβαιοί εἰσιν αἱ τῶν βροτῶν τύχαι. — Ὁ θεὸς καὶ*[4] *ἐκ τῶν ἀέλπτων εὑρίσκει*[5] *πόρους. — Ὁ Εὐφράτης*[6] *ποταμὸς διὰ μέσης τῆς Βαβυλῶνος ῥεῖ*[7]. — *Αἱ μὲν τῶν φρονίμων ἐλπίδες εἰσὶν ἐφικταί, αἱ δὲ τῶν ἀσυνέτων ἄλογοι καὶ ἀδύνατοι. — Παρὰ τοῖς φρονίμοις αἱ μὲν φιλίαι ἀθάνατοί εἰσιν, αἱ δὲ ἔχθραι θνηταί. — Παιδεία καὶ*[8] *πόνου πολλαπλασίου καὶ χρόνου μακροῦ καὶ δαπάνης οὐ μικρᾶς καὶ τύχης λαμπρᾶς δεῖται*[9].

§. 33. 1) Mit Genetiv, wem etwas heilig ist. 2) s. über das Geschlecht Buttm. §. 32, Anm. 3. 3) machte. 4) auch, sogar. 5) findet. 6) s. §. 3, Anm. 3. 7) fließt. 8) s. §. 20, Anm. 2. 9) bedarf.

§. 34. *Αἰσχίνης ὁ ῥήτωρ οὐκ ἦν εὔνους τῇ πατρίδι. — Ζεὺς τὸ χαλκοῦν γένος ἀνθρώπων ἠφάνισεν*[1]. — *Ἀπόλλων Ἑρμῇ τὴν χρυσῆν ῥάβδον ἔδωκεν*[2], *ᾗ*[3] *τὰς ψυχὰς ἐψυχαγώγει*[4]. — *Βελλεροφόντης ἔκτεινε*[5] *τὴν πυρίπνουν Χίμαιραν. — Ὀλίγοι τῶν φιλοσόφων ὁδὸν ἁπλῆν καὶ βέβαιον ὑποδεικνύασι*[6] *τοῦ βίου. — Κροῖσος ὁ τῆς Λυδίας βασιλεὺς ἀπέπεμψεν*[6] *εἰς Δελφοὺς δύο κρητῆρας, χρυσοῦν καὶ ἀργυροῦν. — Ὁ τρισώματος Γηρυόνης ἐν τῇ Ἐρυθείᾳ νήσῳ εἶχε*[8] *φοινικᾶς βόας. — Εὐρυσθεὺς Ἡρακλεῖ ἑνδέκατον ἐπέταξεν*[9] *ἆθλον, παρ' Ἑσπερίδων χρυσᾶ μῆλα εἰς Μυκήνας κομίζειν*[10].

§. 34. 1) vertilgte. 2) gab. 3) mit welchem, von ὅς. 4) in das Schattenreich hinabführte. 5) tödtete. 6) zeigen. 7) schickte. 8) hatte. 9) trug auf. 10) zu bringen.

§. 35. *Σαρδανάπαλος βίον ἔζη*[1] *γυναικώδη. — Παιδεία τοῖς μὲν εὐτυχέσι κόσμος ἐστί, τοῖς δὲ δυστυχέσι καταφυγὴ ἐλευθέριος. — Τὸ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ δὲ ψεῦδος γλυκὺ καὶ προσηνές. — Αἱ μὲν ποδήρεις*

ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσιν[2]. — Ἔργον[3] ἐστὶ μακρὰν συνήθειαν ἐν βραχεῖ χρόνῳ λύειν[4]. — Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν πικρὰν ἐκάλει[5], τὸν δὲ καρπὸν γλυκύν. — Βραχεῖά ἐστιν ἡ τέρψις ἡδονῆς κακῆς. — Τοὺς μὲν σώφρονας ἀνθρώπους θεὸς φιλεῖ[6], τοὺς δὲ κακοὺς στυγεῖ[7].

§. 35. 1) lebte, führte. 2) hindern, sind unbequem. 3) *ἔργον ἐστίν*, es ist eine Arbeit, d. i. es ist schwierig. 4) aufzulösen. 5) nannte. 6) liebt. 7) haßt.

§. 36. Πολλάκις χαλεπόν ἐστιν ἀπὸ τῶν ἀληθῶν τὰ ψευδῆ χωρίζειν[1]. — Μαύσωλος ὁ βασιλεὺς τῆς Καρίας ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες εἶχεν[2]. — Ἡ μὲν ἀμαθία θρασεῖς τοὺς ἀνθρώπους, ἡ δὲ παιδεία σοφοὺς ἀπεργάζεται[3]. — Ἡσίοδος ὁ ποιητὴς τραχεῖαν ἐκάλει[4] τῆς ἀρετῆς τὴν ὁδόν. — Ἰσοκράτης τοὺς εὐφυᾶς τῶν μαθητῶν θεῶν παῖδας ἐκάλει[4]. — Πρέσβεις παρὰ Κυρηναίων Ἀλεξάνδρῳ στέφανον χρυσοῦν καὶ δῶρα μεγαλοπρεπῆ ἐκόμιζον[5]. — Τὰς ἀλκυόνας, θαλαττίας ὄρνεις, φασὶν[6] εἶναι πολυθρήνους καὶ πολυδάκρυας. — Πλούτων, ὁ Διὸς ἀδελφός, ἐβασίλευε[7] τόπου τινὸς[8] ὑπὸ τῇ γῇ βαθέος καὶ ζοφεροῦ, Ἅιδου[9]. — Πλάτων φησὶ[10] τὰς Μούσας ἐν ταῖς ψυχαῖς τῶν εὐφυῶν οἰκεῖν[11].

§. 36. 1) zu scheiden. 2) hatte. 3) macht. 4) nannte. 5) brachten. 6) man sagt (dicunt), daß seien. 7) beherrschte, mit Genetiv. 8) von *τίς*. 9) ist Appositum zu *τόπου βαθέος*: nemlich den Hades. 10) sagt, mit folgendem Accus. c. Inf. 11) wohnen.

§. 37. Ἔργων πονηρῶν χεῖρ'[1] ἐλευθέραν ἔχε[2]. — Ἀθάνατον ἔχθραν μὴ φύλαττε[3] θνητὸς ὤν[4]. — Ὑπήκοον δεῖ[5] εἶναι[6] τῶν γονέων. — Οἱ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσιν. — Οἱ Ἕλληνες οὐδὲν[7] πρὸ τῶν Τρωικῶν ἀθρόοι ἔπραξαν[8]. — Ὁ ὄφις σύμβολόν ἐστι τοῦ ἀγήρω. — Στῦλος οἴκου παῖδές εἰσιν ἄρρενες. — Ἡ γῆ ἑκοῦσα παρέχει[9] τὴν καθ' ἡμέραν[10] τροφήν. — Ἐν τῷ χειμῶνι παχέα ἱμάτια φοροῦμεν[11]. — Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει[12] φόβον. — Μὴ πάντα πειρῶ[13] πᾶσι πιστεύειν[14] ἀεί.

§. 37. 1) d. i. *χεῖρα*. 2) habe, halte. 3) bewahre. 4) seiend, Particip von *εἰμί*; wir sagen: als. 5) s. §. 32, Anm. 4. 6) Infin. von *εἰμί*. 7) Neutrum von *οὐδείς*. 8) führten aus. 9) bietet dar.

10) für jeden Tag, d. i. täglich. 11) wir tragen. 12) haben, d. i. haben in sich, erregen. 13) versuche, d. i. wolle. 14) anvertrauen.

§. 38. Ὁ βίος πολλὰ ἔχει παράδοξα. — Πολλοῖς ἔθος ἐστὶ περὶ παντὸς ὁμοίως ἀντιλέγειν [1]. — Φοίνικες ἐν τοῖς ναυτικοῖς ἔργοις μεγάλην εἶχον [2] ἐμπειρίαν. — Ἐν παντὶ καιρῷ εὐταξία μεγάλων ἀγαθῶν αἰτία γίγνεται [3]. — Πάσης λύπης ἰατρὸς γίγνεται χρόνος. — Ἁπασῶν τῶν ἀληθῶν ἡδονῶν χορηγός ἐστι φιλοσοφία. — Νῖνος ὁ Ἀσσυρίων βασιλεὺς μεγάλας πράξεις ἐπετελέσατο [4]. — Αἱ Γοργόνες θυγατέρες ἦσαν Φόρκυος καὶ Κητοῦς· εἶχον [2] δὲ κεφαλὰς μὲν περιεσπειραμένας [5] φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους, ὡς συῶν, καὶ χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς, τοὺς δὲ ἰδόντας [6] λίθους ἐποίουν [7].

§. 38. 1) zu widersprechen. 2) hatten. 3) wird, ist. 4) hat ausgeführt. 5) umringelt; Part. Perf. von περισπειράω. 6) die Menschen, welche sie erblickten. 7) machten sie zu ꝛc.

VIII.

Comparation der Adjectiva.

§. 39. Πλάτων φησί [1]· πάντων τῶν ἐν τῷ βίῳ κτημάτων [2] μετὰ θεοὺς ψυχὴ θειότατον [3]. — Βεβαιοτάτη τῆς σωτηρίας φύλαξ ἡ ἀπιστία. — Σπάρτη πασῶν τῶν Ἑλληνικῶν πόλεων εὐνομωτάτη ἦν. — Ἡ πενία καὶ [4] πρὸς τὰς τέχνας δεινοτέρους καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους καθίστησιν [5]. — Ἀριστείδης πτωχότατος ὤν [6] πάντων Ἀθηναίων ἐντιμότατος ἦν. — Οἱ ὑψηλοὶ τῶν τόπων [7] ὑγιεινότεροί εἰσι τῶν ταπεινῶν [8], οἱ δὲ μεσόγειοι ψυχρότεροι τῶν παραθαλαττίων. — Πολλάκις ἄνδρες πένητες σοφώτεροι τῶν πλουσίων. — Οἱ Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἦσαν δυσμαχώτατοι καὶ δικαιότατοι. — Αἱ ὀδύναι τοῖς νοσοῦσιν [9] ἰσχυρότεραι τῆς νυκτός [10] εἰσιν.

§. 39. 1) sagt. 2) Der Genetiv hängt vom Superlativ ab; er steht als Theilungsgenetiv wie im Lat. auf die Fragen wovon? worunter? 3) scil. ἐστίν. 4) s. §. 20, Anm. 2. 5) macht. 6) Partic. von εἰμί: obwohl er war. 7) οἱ ὑψηλοὶ τῶν τόπων statt οἱ ὑψηλοὶ τόποι, wie man nach deutschem Ausdrucke erwarten würde. 8) als die niedrigen. Wie nemlich im Lat. statt quam nach Comparativen der Ablativ steht, so im Griech. der Genetiv. „Die hohen Gegenden sind gesünder, von Seite der niedrigen betrachtet.“ 9) Particip von νοσέω. 10) in der Nacht.

§. 40. *Παλαιός ἐστι λόγος· τῶν μὲν νεωτέρων τὰ ἔργα, τῶν δὲ γεραιτέρων αἱ βουλαὶ κράτος ἔχουσιν*[1]. — *Νέος ὢν*[2] *ἀκούειν*[3] *τῶν γεραιτέρων θέλε*[3]. — *Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκατέθαπτον*[4]. — *Οἱ ἄνθρωποι ταῖς ἡδοναῖς θηλύτεροι γίγνονται*[5]. — *Τῶν ἀνθρώπων οἱ*[6] *μὲν ὀξύτεροι, οἱ δ' ἀμβλύτεροί εἰσιν*. — *Ὕλλος Ἡρακλεῖ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτατος*. — *Αἰακὸς εὐσεβέστατος ἦν ἁπάντων τῶν ἀνθρώπων*. — *Ἀετὸς ὀξύτατός ἐστι πάντων τῶν πτηνῶν*. — *Πενίας βαρύτερον οὐδέν*[7] *ἐστι φορτίον*. — *Οἱ χαίροντες*[8] *λαλίστατοί εἰσιν*.

§. 40. 1) haben. 2) s. §. 37, Anm. 4. 3) *ἀκ. θέλε*, wolle hören auf ꝛc. 4) begruben zugleich mit. Der Dativ *βασιλεῦσι* ist von diesem Verbum regiert. 5) werden. 6) *οἱ μὲν — οἱ δέ*, die einen — die andern. 7) von *οὐδείς*. 8) *ὁ χαίρων*, der sich freuende, der fröhliche.

§. 41. *Βίου πονηροῦ*[1] *θάνατος εὐκλεέστερος*. — *Οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον*. — *Τὸν Τρωϊκὸν πόλεμον καὶ τὰς τῶν ἡρώων ἀρετὰς ὁ ἐπιφανέστατος τῶν ποιητῶν Ὅμηρος ἐτραγῴδησεν*[2]. — *Οἱ Αἰθίοπες μελάντεροί εἰσι τῶν ἄλλων ἀνθρώπων*. — *Αἱ συμφοραὶ τοὺς ἀνθρώπους ποιοῦσι*[3] *σωφρονεστέρους*. — *Αἱ χελιδόνες λαλίσταταί εἰσιν*. — *Τὸ γῆρας φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται*[4] *καὶ τῶν ἡδέων*[5] *ἀμελεστέρους*. — *Πολλάκις ἀπὸ μικρᾶς αἰτίας ἐν τοῖς φιλτάτοις ἔχθη καὶ μίση ἐγγίγνεται*[6].

§. 41. 1) s. §. 39, Anm. 8. 2) hat besungen. 3) machen. 4) macht. 5) für, um das Angenehme. 6) entstehen.

§. 42. *Γλύκιστον μέλι πέφυκεν*[1] *ἐν τῇ Ἀττικῇ*. — *Οὐκ ἔστιν ἥδιον φάρμακον λύπης ἢ ἀνδρὸς φίλου παραίνεσις*. — *Τίνα αἴσχιόν ἐστι μὴ φιλεῖν*[2] *ἢ τὸν ἀδελφόν;* — *Προμηθεὺς πλησίον τῶν Κασπίων πυλῶν ἐπὶ τοῦ Καυκάσου ἀνεσταύρωτο*[3], *οἴκτιστον θέαμα πᾶσιν ἀνθρώποις*. — *Ἐν ταῖς πόλεσιν ἐντιμότεροί εἰσιν οἱ πλούσιοι τῶν πενεστέρων*. — *Οἱ ὄφεις ἕρπουσιν*[4] *ὤκιστα*[5]. — *Αἴσχιστόν ἐστι τὸν ὑπὲρ τῆς πατρίδος θάνατον ἀποφυγεῖν*[6]. — *Βουλῆς οὐδέν ἐστιν ἔχθιον κακῆς*.

§. 42. 1) gedeiht, wird erzeugt. 2) nicht zu lieben; *τίνα* (von *τίς*) hängt von *φιλεῖν* ab. 3) war gekreuzigt. 4) kriechen. 5) Superlativ des Adverbs; s. Buttm. §. 115, Anm. 5. Uebrigens bildet

ὠκύς häufiger den Comparativ und Superlativ regelmäßig. 6) zu meiden, d. h. sich zu entziehn.

§. 43. Ἄριστος βίος ὁ τοῦ ἀγαθοῦ ἀνδρός. — Ταρσὸς ἦν μεγίστη τῶν ἐν τῇ Κιλικίᾳ πόλεων. — Οὐδὲν πλούτου μεῖζω ζῆλον ἐν ἀνθρώποις ἔχει[1]. — Ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων καλλίστη τέρψις περιγίγνεται[2]. — Νόσον πολὺ[3] κρεῖττόν ἐστιν ἢ λύπην φέρειν[4]. — Οἱ Χαλδαῖοι πλείστην ἐπιμέλειαν ἐποιήσαντο[5] τῆς ἀστρολογίας. — Τὸ τῶν Ἰνδῶν ἔθνος μέγιστόν ἐστι, καὶ πλείστην τε καὶ καλλίστην χώραν νέμεται[6]. — Σωκράτης πολὺ[3] κρείττω ἔλεγε[7] τὸν τῆς ψυχῆς[8] ἢ τοῦ σώματος ἔρωτα. — Οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος. — Ῥᾷστόν ἐστιν ἑτέρῳ παραινέσαι[9]. — Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ[10] λέγειν[11].

§. 43. 1) hat, erregt. 2) erwächst. 3) viel, weit. 4) zu tragen. 5) verwendeten. 6) bewohnt. 7) nannte. 8) zur Seele. 9) zuzureden. 10) d. i. *τὰ ἀληθῆ*. 11) zu sagen.

§. 44. Δαίδαλος ἀρχιτέκτων κράτιστος ἦν καὶ πρῶτος ἀγαλμάτων εὑρετής. — Βέλτιόν ἐστιν ὀψιμαθῆ εἶναι[1] ἢ ἀμαθῆ. — Οἱ τελματώδεις τόποι οὐ μόνον φαῦλον τὸν ἀέρα κατασκευάζουσιν[2], ἀλλὰ καὶ τοὺς καρποὺς κακίους. — Τίς Λυσάνδρου τοῦ Σπαρτιάτου ἐντιμότερος γέγονεν[3], ἢ τιμῶν πλειόνων ἠξιώθη[4]; — Οἱ Ἕλληνες μηρία ταύρων τε καὶ αἰγῶν πιότατα ἔκαιον[5] ἐπὶ τῶν βωμῶν τοῖς θεοῖς. — Ἡ τῶν χρημάτων κτῆσις πλείστου[6] ἀξία ἐστίν· οὐ δὲ παντὶ ἀνδρί, ἀλλὰ μόνῳ τῷ ἐπιεικεῖ πλοῦτος χρησιμώτατος. — Μήκισταί εἰσιν αἱ νύκτες αἱ χειμεριναί.

§. 44. 1) von *εἰμί*. 2) machen. 3) ist gewesen. 4) wurde gewürdigt. 5) verbrannten. 6) Genetiv regiert von *ἄξιος* (dignus aliqua re).

§. 45. Κρεῖττον[1] πρὸς εὐδαιμονίαν, ἐλάττω ἔχειν[2] ἢ πολλὰ μετὰ φθόνου· καὶ γὰρ καλλίων καὶ ἡδίων ὁ τοιοῦτος βίος. — Οὐκ ἐλάχιστόν ἐστι σοφίας μέρος τὸ ἑαυτὸν[3] γιγνώσκειν. — Ἡ πόλις Ἰσσὸς ἐσχάτη ἐστὶ τῶν[4] τῆς Κιλικίας. — Ὁ Τάρταρός ἐστιν ὁ ὑπὸ γῆν κατώτατος[5] τόπος. — Προὐργιαίτερον[6] χρὴ τίθεσθαι[7] τῶν πόνων τὴν τῆς πόλεως εὐδαιμονίαν. — Θαλῆς ὁ φιλόσοφος εἶπεν[8]· πρεσβύτατον τῶν ὄντων[9] θεός, ἀγέννητος γάρ[1]· κάλλιστον κόσμος, ποίημα γὰρ θεοῦ·

μέγιστον τόπος, πάντα γὰρ χωρεῖ[10]*· τάχιστον νοῦς, διὰ παντὸς γὰρ τρέχει*[11]*· ἰσχυρότατον ἀνάγκη, κρατεῖ*[12] *γὰρ πάντων· σοφώτατον χρόνος, ἀνευρίσκει*[13] *γὰρ πάντα.*

§. 45. 1) scil. *ἐστί.* 2) zu haben. 3) *τὸ ἑαυτ. γιγ.*, sich selbst kennen. 4) man ergänze *πόλεων.* 5) von *κάτω.* 6) s. das Wörterverzeichniß unter *προὔργου.* 7) *χρὴ τίθ.* man muß halten. 8) sagte. 9) von den Wesen, d. i. den existierenden Dingen. 10) faßt, schließt in sich. 11) läuft. 12) überwältigt. 13) erfindet.

IX.

Zahlwörter.

§. 46. *Τῶν Κυκλώπων εκαστος ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου εἶχεν*[1]. — *Διογένης ἔφη*[2]*· φίλος ἐστὶ μία ψυχὴ ἐν δυοῖν σωμάτοιν κειμένη*[3]. — *Τρεῖς εἰσὶ πολιτεῖαι ἐν ἅπασιν ἀνθρώποις, μοναρχία καὶ ὀλιγαρχία καὶ δημοκρατία.* — *Καρχηδὼν περὶ τῆς Σικελίας ἔτη τέσσαρα καὶ εἴκοσιν ἐπολέμησε*[4] *τῇ Ῥώμῃ.* — *Ἡ Λερναία ὕδρα εἶχεν*[1] *ὑπερμέγεθες σῶμα, κεφαλὰς δ' ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον.* — *Πάντες συγκείμεθα*[5] *ἐκ δυοῖν, ψυχῆς καὶ σώματος.* — *Οἱ Ἕλληνες ἔτεσι*[6] *δέκα τὰς ἐν τῇ Τρῳάδι πόλεις κατεπολέμησαν*[7]. — *Σεμίραμις ἐβίωσε*[8] *μὲν ἔτη ἑξήκοντα καὶ δύο, ἐβασίλευσε*[9] *δὲ δύο πρὸς*[10] *τοῖς τεσσαράκοντα.*

§. 46. 1) hatte. 2) sagte. 3) liegend, befindlich. 4) kriegte; mit wem? Dativ. 5) wir bestehen. 6) Dativ auf die Frage: innerhalb welcher Zeit? 7) bezwangen im Krieg. 8) lebte. 9) regierte. 10) zu, so viel als *καί.*

§. 47. *Οἱ Περσῶν παῖδες ἀπὸ πέντε ἐτῶν μέχρι τεττάρων καὶ εἴκοσιν ἐπαιδεύοντο*[1] *τοξεύειν καὶ ἀκοντίζειν καὶ ἀληθεύειν.* — *Οἱ Ἀργοναῦται τὸν πάντα πλοῦν τὸν εἰς Κόλχους ἐν τέσσαρσι μησὶν ἐτελείωσαν*[2]. — *Παρὰ Σκύθαις ὀκτάποδες ἐκαλοῦντο*[3] *οἱ*[4] *δύο*[5] *βοῶν καὶ ἁμάξης μιᾶς δεσπόται ὄντες.* — *Τέταρτον ἆθλον ἐπέταξεν*[6] *Εὐρυσθεὺς Ἡρακλεῖ, τὸν Ἐρυμάνθιον κάπρον εἰς Μυκήνας κομίζειν*[7]. — *Σαρδανάπαλος, τριακοστὸς ὢν*[8] *ἀπὸ Νινύου, ἔσχατος ἐγένετο*[9] *Ἀσσυρίων βασιλεύς.* — *Ὁ μὲν πεπαιδευμένος*[10] *καὶ ἐν πλούτῳ καὶ ἐν πενίᾳ οὐ ταράττεται*[11], *ὁ δ' ἀπαίδευτος ἐν ἀμφοῖν.*

§. 47. 1) wurden unterrichtet, *τοξεύειν* mit dem Bogen zu schießen ꝛc. 2) vollendeten. 3) hießen. 4) *οἱ — δεσπόται ὄντες*, diejenigen, welche Herren waren, d. i. besaßen. 5) gehört zu *βοῶν*; s. über die Form Buttm. §. 70, Anm. 2. 6) legte auf. 7) zu bringen. 8) *ὤν*, welcher war. 9) war. 10) der Gebildete. 11) wird beunruhigt, erschüttert.

§. 48. *Μετὰ τὴν περὶ Ἱμέραν ναυμαχίαν μιᾷ φωνῇ πάντες οἱ Συρακούσιοι Γέλωνα τὸν τύραννον ἀπεκάλουν*[1] *εὐεργέτην καὶ σωτῆρα καὶ βασιλέα. — Ἐν τῇ ἐπὶ Πλαταιαῖς μάχῃ ἦν ὁ σύμπας ἀριθμὸς τῶν μὲν Ἑλλήνων εἰς δέκα μυριάδας, τῶν δὲ βαρβάρων εἰς πεντήκοντα*[2]. — *Κόλχοι τοῖς Περσῶν βασιλεῦσι διὰ πενταετηρίδος δῶρα ἦγον*[3] *ἑκατὸν παῖδας καὶ ἑκατὸν παρθένους, Ἄραβες δὲ χίλια τάλαντα ἦγον λιβανωτοῦ κατ' ἐνιαυτόν. — Αἱ Γραῖαι καλούμεναι*[4], *Φόρκυος καὶ Κητοῦς θυγατέρες, ἦσαν γραῖαι ἀπὸ νέας*[5]· *ἕνα δὲ ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον*[6], *καὶ ταῦτα*[7] *παρὰ μέρος ἤμειβον*[8] *ἀλλήλαις.*

§. 48. 1) nannten. 2) man ergänze *μυριάδας*. 3) brachten, von *ἄγω*. 4) die sogenannten (von *καλέω*) Gräen. 5) *ἀπὸ νέας*, von Jugend auf. 6) hatten. 7) diese, nemlich das Auge und den Zahn. 8) tauschten aus, liehen.

X.

Pronomina.

§. 49. *Ὁ θεὸς ἡμῖν βραχὺν χρόνον τοῦ βίου ἔδωκεν*[1]. — *Ἐπ' ἀλλοτρίων παραδειγμάτων παίδευε*[2] *σεαυτόν, καὶ ἀλλότριος ἔσῃ*[3] *κακῶν. — Διὰ λύπην ἤδη πολλοὶ ἑαυτοὺς ἀνῃρήκασιν*[4]. — *Ἔοικεν*[5] *ὁ βίος θεάτρῳ· διὸ πολλάκις οἱ χείριστοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι*[6] *τόπον*[7]. — *Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει*[8]. — *Ὑπὲρ δόξης, ἡδίστου πράγματος, ἕκαστος ἡμῶν κινδύνους ὑπομένει*[9]. — *Πυθαγόρας ἐρωτηθείς*[10], *τί ἔστι φίλος, ἀπεκρίνατο*[11]· *ἄλλος ἐγώ. — Μακάριος*[12], *ὅστις οὐσίαν καὶ νοῦν ἔχει*[13].

§. 49. 1) hat gegeben. 2) bilde. 3) du wirst bleiben, von 4) haben entleibt. 5) gleicht. 6) nehmen ein. 7) gehört *κάλλιστον*. 8) mache. 9) erträgt. 10) als P. gefragt 11) antwortete er. 12) scil. *ἐστίν*. 13) hat.

§. 50. *Ἡμεῖς χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' ἡμῶν αὐτῶν ἕτερα προσπορίζομεν*[1]. — *Τῷ ἡμετέρῳ βίῳ οὐκ ἀεὶ τὸ αὐτὸ σχῆμα διαμένει*[2]. — *Ἄμεινόν ἐστιν ὑφ' ἑτέρου ἢ αὐτὸν ὑφ' ἑαυτοῦ ἐπαινεῖσθαι*[3]. — *Ὁ εὔψυχος καὶ ἀνδρεῖος εὐψύχως τὴν ἑαυτοῦ*[4] *τελευτὴν φέρει*[5], *ὥσπερ Σωκράτης*. — *Ἐπιμελοῦ*[6] *τῆς σεαυτοῦ ψυχῆς*. — *Ἡ ἀλήθεια μετὰ παρρησίας διαλέγεται*[7] *τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο*[8] *ἄχθονται*[9] *αὐτῇ*. — *Ἀθηνᾶ τὴν τῶν ἐλαιῶν φυτείαν παρέδωκε*[10] *τοῖς ἀνθρώποις καὶ τὴν τοῦ καρποῦ τούτου ἐργασίαν.*

§. 50. 1) wir verschaffen hinzu. 2) verbleibt. 3) gelobt zu werden. 4) Der Genetiv des Personalpronomens kann im Griech. die Stelle des possessiven vertreten; dies findet immer statt beim Possessiv der 3. Person *ὅς, ἥ, ὅν*, das in der attischen Prosa ungebräuchlich ist. 5) erträgt. 6) sorge für ꝛc. 7) spricht; mit wem? Dativ. 8) propterea. 9) sie zürnen, sind abgeneigt. 10) theilte mit.

§. 51. *Τῶν νομοθετῶν ἔργον ἐστὶ ζητεῖν*[1], *τί μὲν ἀγαθὸν πόλει, τί δὲ κακόν*. — *Ἡ σωφροσύνη ἐστὶ κατὰ Πλάτωνα ἡδονῶν τινῶν καὶ ἐπιθυμιῶν ἐγκράτεια*. — *Ὅστις τὰς δαιμόνων τύχας κάλλιστα φέρει*[2], *οὗτός ἐστιν ἀνὴρ σοφός*. — *Ἄνανδροί μοι δοκοῦσιν*[3], *ὅσοι τὸν ἑαυτῶν θάνατον ἀγεννῶς προσδέχονται*[4]. — *Ζηλωτοὶ ἐκεῖνοι*[5], *οἵτινες μὴ ἐπισήμοις συμφοραῖς ἐν τῷ βίῳ ὠδύροντο*[6]. — *Οἱ χρηστοὶ παῖδες διὰ τοὺς γονέας ἀλλήλους ἀγαπήσουσιν*[7]. — *Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην μεγάλαις δωρεαῖς ἐτίμησε*[8], *καὶ ἔδωκεν*[9] *αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα πρὸς συμβίωσιν.*

§. 51. 1) zu untersuchen. 2) erträgt. 3) scheinen. 4) aufnehmen. 5) scil. *εἰσίν*. 6) betrübt wurden. 7) werden lieben. 8) ehrte. 9) gab.

§. 52. *Τίνα κοινωνὸν εὐμενέστερον ἔχοι*[1] *τις ἂν ἢ ἀδελφὸν ἐπιεικῆ;* — *Πολλάκις διὰ τὴν φιλαυτίαν οἱ κακίους σφᾶς αὐτοὺς προκρίνουσι*[2] *τῶν πολὺ*[3] *βελτιόνων*. — *Χρυσίου καὶ δοξῶν καὶ ἡδονῶν ἕνεκα ἐπιβουλεύουσιν*[4] *ἀλλήλοις οἱ ἄνθρωποι*. — *Θέογνις ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται*[5] *ἢ περὶ ἀρετῆς καὶ κακίας*. — *Οὐκ ἐλάχιστόν ἐστι σοφίας ἔργον*[6] *ὀρθῶς γιγνώσκειν*[7], *ὁποῖος ἕκαστος ἀνήρ*. — *Διονύσιος ὁ Συρακουσίων τύραννος ἐν τῇ Σικελίᾳ πόλιν ἔκτισεν*[8] *ὑπ' αὐτὸν*[9] *τὸν τῆς Αἴτνης λόφον, καὶ προσηγόρευσεν*[10] *αὐτὴν Ἄδρανον.*

§. 52. 1) *ἔχοι τις ἄν*, könnte einer (man) haben. 2) ziehen vor, setzen höher. 3) weit. 4) stellen nach. 5) *λόγον πεποίηται*, hat gesprochen, gedichtet. 6) Geschäft, d. i. Aufgabe. 7) zu erkennen. 8) erbaute. 9) gerade unter ꝛc. 10) benannte.

§. 53. *Πᾶσιν ἀνθρώποις δαίμων ἐπέταξε*[1] *πόνους, ἄλλοις ἄλλους*[2]. — *Οἱ γέροντες τὸν ἕτερον πόδα, φασίν*[3], *ἤδη ἐν τῇ σορῷ ἔχουσιν*[4]. — *Ἄρης ὑπὸ Θρᾳκῶν μάλιστα ἐτιμᾶτο*[5] *καὶ Σκυθῶν καὶ τῶν τοιούτων ἐθνῶν, ἐπεὶ παρ' ἐκείνοις τῶν πολεμικῶν ἡ ἄσκησις τὰ μάλιστα ηὐδοκίμει*[6]. — *Ἐθέλω*[7] *παρὰ σοῦ ἀκούειν, ἥντινα γνώμην ἔχεις*[8] *περὶ τοῦ γήρως· ἐμοὶ γὰρ ὁ ἐν αὐτῷ βίος καταφαίνεται*[9] *δύσκολος.* — *Ἐάν τις μετὰ σπουδῆς ἐθέλῃ*[10] *οὑτινοσοῦν*[11] *τυγχάνειν*[12], *μὴ τυχὼν*[13] *μεγάλην ἔχει λύπην.* — *Ξενοφῶν περὶ Ἀγησιλάου φησί*[14]*· ποίας νεότητος*[15] *οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;* — *Τῇ αὐτῇ ἡμέρᾳ Γέλων ὁ Συρακούσιος τοὺς Καρχηδονίους τὴν ἐν Ἱμέρᾳ ναυμαχίαν*[16] *ἐνίκησε*[17], *καὶ οἱ*[18] *μετὰ Λεωνίδου περὶ Θερμοπύλας διηγωνίσαντο*[19] *πρὸς Ξέρξην.*

§. 53. 1) legte auf. 2) wie das lateinische aliis alios labores, den einen diese, den andern jene Beschwerden. 3) *φασίν:* wie man zu sagen pflegt, das lateinische ajunt. 4) haben. 5) wurde geehrt. 6) in Ehren stand. 7) *ἐθέλω ἀκούειν*, ich wünsche zu hören. 8) du hast. 9) erscheint. 10) will. 11) was immer, jedwedes; der Genetiv ist regiert von *τυγχάνειν*. 12) erlangen. 13) *μὴ τυχών*, wenn er es nicht erlangt. 14) sagt. 15) Der Genetiv regiert von *κρεῖττον*, s. §. 39, Anm. 8. 16) in der Seeschlacht. 17) besiegte. 18) *οἱ μετὰ Λ.*, die Krieger unter L. 19) kämpften.

XI.

Verba.

I. Verba auf *ω*.

A. Zeiten mit unverändertem Verbalstamm.

a. Präsens und Imperfect im Activ.

§. 54. *Τῷ λόγῳ προέχομεν τῶν ἄλλων ζῴων.* — *Ἡ Ἰνδικὴ χώρα διττοὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐκφέρει καρπούς.* — *Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐχ οἱ ἄνθρωποι τῶν συμφορῶν.* — *Μάλιστα γηράσκει παρ' ἀνθρώποις ἡ χάρις.* — *Οὐ χρὴ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως*[1]. — *Τὴν γῆν καλῶς μητέρα πάντων*[2]

προσαγορεύομεν. — *Πολλοὶ φιλόσοφοι ἐναντιώτατα*[3] *τοῖς αὑτῶν λόγοις ἐπιτηδεύουσι.* — *Φυλάττεις, ὦ πλούσιε, τὸ χρυσίον κατάκλειστον, ὥσπερ Δανάην*[4] *τινά*[5]. — *Μῦθός ἐστι λόγος ψευδής, εἰκονίζων ἀλήθειαν.*

§. 54. 1) d. i. die Absicht, welche sie bei ihren Unternehmungen hatten. 2) aller Wesen. 3) was ganz widersprechend ist. 4) welche ihr Vater Akrisios in einen Thurm eingesperrt hielt. 5) eine Art Danaë.

§. 55. *Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.* — *Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς φέρει.* — *Ἐξαίρετον ἀγαθὸν τῆς ἀνθρωπείας φύσεως τὸν λόγον ἔχομεν.* — *Φεῦγ'*[1] *ἡδονὴν φέρουσαν ὕστερον βλάβην.* — *Ἡ ἀρετὴ ἐν ἔργοις ἐστίν*[2], *οἷον*[3] *ἐν τῷ*[4] *δίκαια πράττειν καὶ σοφὰ καὶ ἀνδρεῖα.* — *Πενία τοῖς ἔχουσιν*[5] *οὐ μικρὰ νόσος.* — *Οἱ παῖδες ἀξίαν τιμὴν τοῖς γονεῦσι νεμέτωσαν.* — *Οἱ πένητες λαμβανόντων*[6] *παρὰ τῶν πλουσίων.* — *Μὴ κρῖνε ἐκ τῶν λόγων σοφὸν ἢ χρηστὸν ἄνδρα, τὸν δὲ βίον ἀεὶ ἐξέταζε· πολλοὶ γὰρ καλὰ μὲν λέγουσι, τὰ δ' ἔργα φαῦλα ἔχουσιν.*

§. 55. 1) *φεῦγε.* 2) beruht, ist enthalten. 3) Das latein. velut, wie, zum Beispiel. 4) Der Infinitiv erhält im Griechischen durch den Artikel die Geltung eines Substantivs, und kann durch alle Casus flectiert werden. 5) scil. *αὐτήν.* 6) Kann *λαμβανόντων* Particip sein, wo in dem Satze kein Verbum finitum steht?

§. 56. *Σόλων ὁ Ἀθηναῖος ἔλεγεν*[1]· *οἱ μὲν πύκται καὶ σταδιεῖς καὶ οἱ ἄλλοι ἀθληταὶ οὐδὲν ἀξιόλογον συμβάλλουσι ταῖς πόλεσιν πρὸς σωτηρίαν, οἱ*[2] *δὲ φρονήσει καὶ ἀρεταῖς διαφέροντες μόνοι οἷοί*[3] *τέ εἰσι, τὰς πατρίδας ἐν τοῖς κινδύνοις διαφυλάττειν.* — *Πέρσαι τοὺς νεκροὺς οὐκ ἔκαιον· θεὸν*[4] *γὰρ ἐνόμιζον εἶναι τὸ πῦρ· διὸ οὐδὲ δίκαιον εἶναι ἔλεγον, θεῷ νέμειν νεκρὸν ἀνθρώπου.* — *Πολλὰ σημεῖα καὶ χαρακτῆρας ἔγραφον Αἰγύπτιοι ἀντὶ γραμμάτων.* — *Ἐν τῷ τῶν θεῶν συμποσίῳ Ἀπόλλων ἐκιθάριζε καὶ αἱ Μοῦσαι ᾖδον*[5]. — *Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν εἴκαζεν.*

§. 56. 1) *λέγω.* 2) Man verbinde: *οἱ διαφέροντες φρονήσει* ꝛc. Wenn im Griechischen das Particip mit dem Artikel verbunden ist, hat man es im Deutschen durch einen Relativsatz aufzulösen; so hier *οἱ διαφέροντες*, diejenigen, welche sich auszeichnen. 3) *οἷός τέ εἰμι*, ich bin im Stande. 4) Man construiere: *ἐνόμιζον γὰρ τὸ πῦρ θεὸν εἶναι* (Acc. c. Inf.) 5) *ᾄδω.*

§. 57. *Οἱ παλαιοὶ Ἕλληνες τὴν Δήμητρα θεσμοφόρον ὠνό-*

μαζον[1]. — Πόλις Σιδὼν εὐδαιμονίᾳ διέφερεν[2]. — Ἐπίχαρμος ὁ ποιητὴς ἀπ' Ἀχιλλέως εἷλκε[3] τὸ γένος. — Λουκιανὸς πολλὰ εἰς τοὺς φιλοσόφους ἀπέσκωπτεν[4]. — Ποσειδῶν συνῆγε[5] τὰς νεφέλας καὶ ἐτάραττε τὸν πόντον, ἐμβάλλων τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνεν. — Μελάμπους ἐκ τῶν φωνῶν τῶν ὄρνεων προὔλεγε[6] τὰ μέλλοντα. — Ἐν Ἀσκάλωνι, πόλει τῆς Συρίας, τέμενος ἦν θεᾶς ἐπιφανοῦς, ἣν ὠνόμαζον οἱ Σύροι Δερκετώ· αὕτη δὲ τὸ μὲν πρόσωπον εἶχε γυναικός, τὸ δ' ἄλλο σῶμα πᾶν ἰχθύος.

§. 57. 1) ὀνομάζω. 2) διαφέρω. 3) ἕλκω. 4) ἀποσκώπτω. 5) συνάγω. 6) προλέγω, s. Buttm. §. 86, Anm. 1; Englm. §. 106, 1.

XII.

b. Präsens und Imperfect im Passiv und Medium.

§. 58. Τοῖς ἀμαθέσιν ὁ ἐν γήρᾳ βίος δύσκολος καταφαίνεται[1]. — Ταῖς τῶν πραγμάτων μεταβολαῖς πολλάκις καὶ ἡ τῶν φίλων εὔνοια συμμεταβάλλεται. — Ἐάν τι μὴ ἀληθὲς λέγῃς, μὴ βαρέως φέρε ὑπ' ἄλλων ἐλέγχεσθαι. — Ὦ νεανίσκοι, ἔχεσθε[2] παιδείας καὶ τρέπεσθε πρὸς τὰ βελτίω. — Πῶς μάχωμαι[3] θνητὸς ὤν[4] τῇ θείᾳ τύχῃ; — Βούλου ἀεὶ χρήσιμόν τι προσμανθάνειν. — Οἱ ἄνθρωποι τότε γίγνονται βελτίους, ὅταν τῷ θεῷ προσέρχωνται.

§. 58. 1) ist Medium. 2) Imperativ im Medium. Ueber die Bedeutung von ἔχω im Medium mit Genetiv s. das Wörterverzeichniß. 3) Conjunctiv der zweifelnden Frage: wie soll ich kämpfen? 4) als Sterblicher.

§. 59. Πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν. — Σύμβουλος ἐσθλός, μὴ κακὸς γίγνου φίλοις. — Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον. — Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος. — Ἀλέξανδρος ὑπ'[1] Ἀριστοτέλει τῷ φιλοσόφῳ ἐπαιδεύετο. — Περίανδρος ὁ Λακεδαιμονίων ναύαρχος ἐν Κνίδῳ πρὸς Κόνωνα τὸν Ἀθηναῖον ἀξίως τῆς πατρίδος[2] ἐμάχετο. — Πέρσαι ἀγάλματα καὶ βωμοὺς τοῖς θεοῖς οὐχ ἱδρύοντο. — Νέστωρ νέος ὢν παρὰ Γερηνίοις ἐτρέφετο. — Ὀρφεῖ κιθαρίζοντι ἐφείπετο[3] τὰ τετράποδα καὶ τὰ ὄρνεα καὶ τὰ δένδρα.

§. 59. 1) unter der Leitung, nicht von. 2) Der Genetiv hängt von ἀξίως ab. 3) ἐφέπομαι. Ueber den Singular s. Buttm. §. 129, Anm. 3.

§. 60. Ἐν Πλαταιαῖς τῇ Ἑλληνικῇ στρατιᾷ πολλὰ συνεβάλλετο[1] πρὸς τὴν νίκην ἡ τῶν τόπων στενοχωρία. — Πλάτων παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῶν γνωμῶν σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ. — Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ[2] γονέων ἀσήμων[3] εἶναι, ἔλεγε· καὶ μὴν διὰ τοῦτο ὤφειλον[4] μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται. — Ἀγησίλαος ὁ Λακεδαιμονίων βασιλεὺς κόρου καὶ μέθης τὸ παράπαν ἀπείχετο[5]. — Οἱ Πυθαγόρειοι ᾤοντο[6] μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας.

§. 60. 1) trug bei, d. i. verhalf, von συμβάλλω. 2) darüber, daß er sei. 3) von unbekannten Eltern, Genetiv der Abstammung. 4) ὤφειλον μᾶλλον, ich sollte vielmehr, debebam potius. 5) ἀπέχομαι. 6) οἴομαι.

§. 61. Ἀμείβου ταῖς προσηκούσαις χάρισι τοὺς εὐεργέτας. — Εἰ βούλει ἀγαθὸς γίγνεσθαι, πρῶτον πίστευε, ὅτι κακὸς εἶ. — Μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη διδακτόν[1]. — Μὴ αἰσχυνώμεθα[2] παρὰ ξένου τὰ συμφέροντα μανθάνοντες[3]. — Ἃ ἄν σοι λογιζομένῳ[4] φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις διαπράττου. — Χαρίλαος ὁ Λακεδαιμονίων βασιλεὺς ἀρίστην ἔλεγε πολιτείαν, ἐν ᾗ ἂν πλεῖστοι πολιτευόμενοι περὶ ἀρετῆς πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζωνται. — Κριτίας τε καὶ Ἀλκιβιάδης, ὄντε[5] φύσει[6] φιλοτιμοτάτω πάντων Ἀθηναίων, ἠβουλέσθην[7] πάντα δι' ἑαυτῶν πράττεσθαι.

§. 61. 1) etwas Lehrbares, zu Erlernendes. Ueber das Neutrum s. Buttm. §. 129, Anm. 8. 2) Conjunctiv der Aufforderung: wir wollen (laßt uns) nicht schämen, wie im Lat. eamus. 3) zu erlernen. 4) beim Ueberlegen. 5) da sie waren. 6) von Natur aus. 7) βούλομαι.

XIII.

c. Präsens und Imperfect der Verba contracta.

§. 62. Χρόνος πάντα ἀμαυροῖ καὶ εἰς λήθην ἄγει. — Ἐφορᾷ, ὡς ἔοικε[1], τὸν ἀνθρώπινον βίον νέμεσις τοῦ θεοῦ, ἣ τοὺς ὑπὲρ ἄνθρωπον[2] φρονοῦντας ταχὺ τῆς ἰδίας ἀσθενείας ὑπομιμνήσκει. — Οἱ ἀσύνετοι ἀγνοοῦσι, τί ποτέ ἐστιν ἐν τῷ βίῳ κατ' ἀλήθειαν ἀγαθόν. — Ἡ παιδεία ἡμεροῖ τὰς ψυχὰς, ἀφαιροῦσα τὸ θηριῶδες καὶ ἄγνωμον. — Πᾶς[3] νοῦν ἔχων τιμάτω καὶ σεβέτω τὰς τῶν γονέων εὐχάς. — Οὐχ ὅταν ὁ ἄνθρωπος

ἐν ἡδονῇ βιοῖ[4], τότε κατὰ φύσιν βιοῖ, ἀλλ' ὅταν ἐν ἀρετῇ. — Πολλοὶ δρῶντες[5] τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους ἀσκοῦσιν.

§. 62. 1) es scheint, von εἴκω. 2) über Menschenkräfte, über menschliches Ziel. 3) jeder. 4) ist Conjunctiv wegen ὅταν. 5) δράω.

§. 63. Ὀργή σε πολλὰ δρᾶν ἀναγκάζει κακά. — Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή. — Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν[1] εὐτυχῇ. — Εὐτυχοίης[2] καὶ τυγχάνοις ὧν ἐπιθυμεῖς. — Γονεῖς σὺ τίμα καὶ φίλους εὐεργέτει. — Ἃ μὴ δεῖ ποιεῖν, ταῦτα μηδὲ[3] ὑπονόει ποιεῖν. — Ὁ νόμος κελεύει τιμᾶν τοὺς τὴν πατρίδα ἐλευθεροῦντας. — Ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα. — Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλοσοφῶν τὴν ψυχὴν ἐξημεροῖ. — Νιόβη ζῶσα[4] λίθος ἐγένετο[5] ἐπὶ τῷ τύμβῳ τῶν παίδων.

§. 63. 1) καὶ ἐάν. 2) Optativ des Wunsches. Ueber die Form s. Buttm. §. 103, A. II, 3; Englm. §. 118. 3) nicht einmal. 4) von ζάω. 5) wurde.

§. 64. Ἀγησίλαος ὁ μέγας, ἐν μέσοις τοῖς στρατιώταις σκηνῶν, οὐδενὸς[1] ἀμείνονα κοίτην εἶχεν. — Οἱ παλαιοὶ Ἕλληνες ἐτίμων θεοὺς ἱεροῖς, ἀναθήμασι, θυσίαις, πανηγύρεσι, προσόδοις. — Σαλμωνεὺς Διὶ ἀντιβροντᾶν ἐτόλμα. — Ταινία παρ' ὅλην σχεδὸν τὴν Αἴγυπτον παρήκει, τοῖς ἀπείροις τῶν προσπλεόντων ἀθεώρητος. — Ἀπόλλων διὰ τῶν χρησμῶν καὶ τῶν θεραπειῶν εὐηργέτει[2] τὸ τῶν ἀνθρώπων γένος. — Πολλοὺς ἤδη, καταφρονεῖν παραινοῦντας χρημάτων[3], ἑώρων[4] ἀπρὶξ ἐχομένους[5] αὐτῶν. — Ἰσοκράτης παρῄνει[6] τῶν γονέων[7] τοὺς διδασκάλους προτιμᾶν· τοὺς[8] μὲν γὰρ τοῦ ζῆν, τοὺς δὲ τοῦ εὖ ζῆν εἶναι αἰτίους.

§. 64. 1) statt οὐκ ἀμείνονά τινος, kein besseres Lager als irgend einer. 2) εὐεργετέω. 3) Der Genetiv hängt von καταφρονεῖν ab. 4) ὁράω. 5) Das Particip ist von ἑώρων regiert (vidi multos mordicus pecuniam tenentes). 6) παραινέω. 7) Der Genetiv ist von προτιμᾶν regiert, in welchem Verbum ein Comparativbegriff liegt. 8) denn, sagte er, diese (τοὺς μὲν) — jene (τοὺς δέ) ꝛc.

§. 65. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. — Μιμοῦ τὰ σεμνά, μὴ μιμοῦ κακοὺς τρόπους. — Μακάριος[1], ὅστις οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ οὗτος, εἰς ἃ δεῖ, ταύτῃ[2] καλῶς. — Ἀρέσκου καὶ ἀγάπα τοῖς παροῦσι[3], καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴου. — Πῶς ἂν τις ἧττον[4] ὑπὸ πόλεως ζημιοῖτο[5], πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς τῆς πόλεως νόμοις πείθεσθαι ἐπιχειροίη; — Πειρῶ τύχης ἄνοιαν εὐχερῶς φέρειν. —

Τοῖς μεριμνῶσι καὶ λυπουμένοις ἅπασα νὺξ μακρὰ φαίνεται. — Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, εἶπε[6]· *μὴ τῷ κιβωτῷ ἔχε*[7], *ἀλλὰ τῷ στήθει.*

§. 65. 1) scil. *ἐστίν.* 2) *τῇ οὐσίᾳ.* Der Dativ ist von *χρῆται* regiert (von etwas Gebrauch machen). 3) mit dem Gegenwärtigen, d. h. mit deinem Loose. 4) weniger, minder, minus, s. Buttm. §. 115, Anm. 7; Englm. §. 205. 5) *ἂν ζημιοῖτο,* könnte bestraft werden. 6) sagte. 7) man ergänze: *τὰ βιβλία.*

§. 66. *Ὀρφεὺς ὁ μελοποιὸς διαφερόντως ἐν ταῖς Θήβαις ἐτιμᾶτο. — Τὸ χρυσόμαλλον δέρας ἐν Κόλχοις ἐφρουρεῖτο ὑπὸ δράκοντος ἀΰπνου. — Εὐλαβοῦ τὰς διαβολάς, κἂν*[1] *ψευδεῖς ὦσιν*[2]· *οἱ γὰρ πολλοὶ*[3] *τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. — Ἐν Λακεδαίμονι τῇ εὐνομωτάτῃ οὐ πλήθει γραμμάτων*[4] *ἡ πόλις διῳκεῖτο*[5], *πολὺ δὲ μᾶλλον τοῖς τρόποις τῶν πολιτευομένων. — Οἱ Ἀθηναῖοι Σόλωνι νομοθέτῃ ἐχρῶντο*[6] *πρὸς τὴν πολιτείαν, καὶ ἠξίουν κατὰ τὰ προστάγματα αὐτοῦ βιοῦν. — Αἱ παλαιαὶ τῶν γυναικῶν*[7] *τοὺς πόδας σανδάλοις ὑπεδοῦντο*[8] *— Γανυμήδης ἐν τῷ Ὀλύμπῳ τοῖς θεοῖς ἐῳνοχόει*[9] *καὶ τοῦ συμποσίου ἐπεμελεῖτο. — Ὁ Χάλος, ποταμὸς τῆς Συρίας, ἦν πλήρης ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων*[10].

§. 66. 1) *καὶ ἐάν.* 2) Conjunctiv von *εἰμί.* 3) *οἱ πολλοί,* die meisten, die große Menge. 4) d. i. geschriebene Gesetze. 5) *διοικέω.* 6) *χρῆσθαι* mit doppeltem Dativ, einen als etwas haben, wie im Latein. z. B. uti aliquo magistro. 7) statt *αἱ παλαιαὶ γυναῖκες,* s. Buttm. §. 132, 5, Anm. 3. *παλαιός* bezieht sich nicht auf das physische Alter, sondern auf das historische: die Frauen der Vorzeit. 8) s. über die Contraction Buttm. §. 105, Anm. 2; Englm. §. 119 Anm. 9) *οἰνοχοέω.* 10) *ἐάω.*

XIV.

B. Zeiten mit verändertem Verbalstamm.

a. Activum.

§. 67. *Οὐδεὶς τῶν ἀνθρώπων παρὰ πάντα τὸν βίον εὐδαιμονήσει. — Χείλων δυσχεραίνοντός*[1] *τινος ἐπὶ τοῖς ἑαυτοῦ κακοῖς, εἶπεν· ‘εἰ τὰ πάντων*[2] *κατανοήσεις, ἧττον*[3] *ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις’. — Τοὺς γονέας ἐν τιμῇ ἔχων πράξεις*[4] *καλῶς. — Οἱ ἀνδρεῖοι ἀθάνατον μνήμην ἑαυτῶν καταλείψουσιν. — Οὐκ αἰνέσω ποτὲ τὸν χρηστὰ μὲν λέγοντα, κακὰ δὲ πράττοντα. — Οὐ νομίζω, ὑμᾶς ποτε ἐς τοσοῦτον*[5] *ἀμελείας καὶ*

§. 47. 1) wurden unterrichtet, *τοξεύειν* mit dem Bogen zu schießen ꝛc. 2) vollendeten. 3) hießen. 4) *οἱ — δεσπόται ὄντες*, diejenigen, welche Herren waren, d. i. besaßen. 5) gehört zu *βοῶν*; s. über die Form Buttm. §. 70, Anm. 2. 6) legte auf. 7) zu bringen. 8) *ὤν*, welcher war. 9) war. 10) der Gebildete. 11) wird beunruhigt, erschüttert.

§. 48. *Μετὰ τὴν περὶ Ἱμέραν ναυμαχίαν μιᾷ φωνῇ πάντες οἱ Συρακούσιοι Γέλωνα τὸν τύραννον ἀπεκάλουν*1 *εὐεργέτην καὶ σωτῆρα καὶ βασιλέα. — Ἐν τῇ ἐπὶ Πλαταιαῖς μάχῃ ἦν ὁ σύμπας ἀριθμὸς τῶν μὲν Ἑλλήνων εἰς δέκα μυριάδας, τῶν δὲ βαρβάρων εἰς πεντήκοντα*2. *— Κόλχοι τοῖς Περσῶν βασιλεῦσι διὰ πενταετηρίδος δῶρα ἦγον*3 *ἑκατὸν παῖδας καὶ ἑκατὸν παρθένους, Ἄραβες δὲ χίλια τάλαντα ἦγον λιβανωτοῦ κατ' ἐνιαυτόν. — Αἱ Γραῖαι καλούμεναι*4, *Φόρκυος καὶ Κητοῦς θυγατέρες, ἦσαν γραῖαι ἀπὸ νέας*5· *ἕνα δὲ ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον*6, *καὶ ταῦτα*7 *παρὰ μέρος ἤμειβον*8 *ἀλλήλαις.*

§. 48. 1) nannten. 2) man ergänze *μυριάδας*. 3) brachten, von *ἄγω*. 4) die sogenannten (von *καλέω*) Gräen. 5) *ἀπὸ νέας*, von Jugend auf. 6) hatten. 7) diese, nemlich das Auge und den Zahn. 8) tauschten aus, liehen.

X.

Pronomina.

§. 49. *Ὁ θεὸς ἡμῖν βραχὺν χρόνον τοῦ βίου ἔδωκεν*1. *— Ἐπ' ἀλλοτρίων παραδειγμάτων παίδευε*2 *σεαυτόν, καὶ ἀλλότριος ἔσῃ*3 *κακῶν. — Διὰ λύπην ἤδη πολλοὶ ἑαυτοὺς ἀνῃρήκασιν*4. *— Ἔοικεν*5 *ὁ βίος θεάτρῳ· διὸ πολλάκις οἱ χείριστοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι*6 *τόπον*7. *— Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει*8. *— Ὑπὲρ δόξης, ἡδίστου πράγματος, ἕκαστος ἡμῶν κινδύνους ὑπομένει*9. *— Πυθαγόρας ἐρωτηθείς*10, *τί ἐστι φίλος, ἀπεκρίνατο*11· *ἄλλος ἐγώ. — Μακάριος*12, *ὅστις οὐσίαν καὶ νοῦν ἔχει*13.

§. 49. 1) hat gegeben. 2) bilde. 3) du wirst bleiben, von *εἰμί*. 4) haben entleibt. 5) gleicht. 6) nehmen ein. 7) gehört zu *τὸν κάλλιστον*. 8) mache. 9) erträgt. 10) als P. gefragt wurde. 11) antwortete er. 12) scil. *ἐστίν*. 13) hat.

§. 50. *Ἡμεῖς χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' ἡμῶν αὐτῶν ἕτερα προσπορίζομεν*[1]. — *Τῷ ἡμετέρῳ βίῳ οὐκ ἀεὶ τὸ αὐτὸ σχῆμα διαμένει*[2]. — *Ἄμεινόν ἐστιν ὑφ' ἑτέρου ἢ αὐτὸν ὑφ' ἑαυτοῦ ἐπαινεῖσθαι*[3]. — *Ὁ εὔψυχος καὶ ἀνδρεῖος εὐψύχως τὴν ἑαυτοῦ*[4] *τελευτὴν φέρει*[5], *ὥσπερ Σωκράτης.* — *Ἐπιμελοῦ*[6] *τῆς σεαυτοῦ ψυχῆς.* — *Ἡ ἀλήθεια μετὰ παρρησίας διαλέγεται*[7] *τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο*[8] *ἄχθονται*[9] *αὐτῇ.* — *Ἀθηνᾶ τὴν τῶν ἐλαιῶν φυτείαν παρέδωκε*[10] *τοῖς ἀνθρώποις καὶ τὴν τοῦ καρποῦ τούτου ἐργασίαν.*

§. 50. 1) wir verschaffen hinzu. 2) verbleibt. 3) gelobt zu werden. 4) Der Genetiv des Personalpronomens kann im Griech. die Stelle des possessiven vertreten; dies findet immer statt beim Possessiv der 3. Person *ὅς, ἥ, ὅν*, das in der attischen Prosa ungebräuchlich ist. 5) erträgt. 6) sorge für ꝛc. 7) spricht; mit wem? Dativ. 8) propterea. 9) sie zürnen, sind abgeneigt. 10) theilte mit.

§. 51. *Τῶν νομοθετῶν ἔργον ἐστὶ ζητεῖν*[1], *τί μὲν ἀγαθὸν πόλει, τί δὲ κακόν.* — *Ἡ σωφροσύνη ἐστὶ κατὰ Πλάτωνα ἡδονῶν τινῶν καὶ ἐπιθυμιῶν ἐγκράτεια.* — *Ὅστις τὰς δαιμόνων τύχας κάλλιστα φέρει*[2], *οὗτός ἐστιν ἀνὴρ σοφός.* — *Ἄνανδροί μοι δοκοῦσιν*[3], *ὅσοι τὸν ἑαυτῶν θάνατον ἀγεννῶς προσδέχονται*[4]. — *Ζηλωτοὶ ἐκεῖνοι*[5], *οἵτινες μὴ ἐπισήμοις συμφοραῖς ἐν τῷ βίῳ ὠδύροντο*[6]. — *Οἱ χρηστοὶ παῖδες διὰ τοὺς γονέας ἀλλήλους ἀγαπήσουσιν*[7]. — *Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην μεγάλαις δωρεαῖς ἐτίμησε*[8], *καὶ ἔδωκεν*[9] *αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα πρὸς συμβίωσιν.*

§. 51. 1) zu untersuchen. 2) erträgt. 3) scheinen. 4) aufnehmen. 5) scil. *εἰσίν*. 6) betrübt wurden. 7) werden lieben. 8) ehrte. 9) gab.

§. 52. *Τίνα κοινωνὸν εὐμενέστερον ἔχοι*[1] *τις ἂν ἢ ἀδελφὸν ἐπιεικῆ;* — *Πολλάκις διὰ τὴν φιλαυτίαν οἱ κακίους σφᾶς αὐτοὺς προκρίνουσι*[2] *τῶν πολὺ*[3] *βελτιόνων.* — *Χρυσίου καὶ δοξῶν καὶ ἡδονῶν ἕνεκα ἐπιβουλεύουσιν*[4] *ἀλλήλοις οἱ ἄνθρωποι.* — *Θέογνις ὁ ποιητὴς περὶ οὐδενὸς ἄλλου λόγον πεποίηται*[5] *ἢ περὶ ἀρετῆς καὶ κακίας.* — *Οὐκ ἐλάχιστόν ἐστι σοφίας ἔργον*[6] *ὀρθῶς γιγνώσκειν*[7], *ὁποῖος ἕκαστος ἀνήρ.* — *Διονύσιος ὁ Συρακουσίων τύραννος ἐν τῇ Σικελίᾳ πόλιν ἔκτισεν*[8] *ὑπ' αὐτὸν*[9] *τὸν τῆς Αἴτνης λόφον, καὶ προσηγόρευσεν*[10] *αὐτὴν Ἄδρανον.*

§. 52. 1) *ἔχοι τις ἄν*, könnte einer (man) haben. 2) ziehen vor, setzen höher. 3) weit. 4) stellen nach. 5) *λόγον πεποίηται*, hat gesprochen, gedichtet. 6) Geschäft, d. i. Aufgabe. 7) zu erkennen. 8) erbaute. 9) gerade unter 2c. 10) benannte.

§. 53. *Πᾶσιν ἀνθρώποις δαίμων ἐπέταξε*[1] *πόνους, ἄλλοις ἄλλους*[2]. — *Οἱ γέροντες τὸν ἕτερον πόδα, φασίν*[3], *ἤδη ἐν τῇ σορῷ ἔχουσιν*[4]. — *Ἄρης ὑπὸ Θρᾳκῶν μάλιστα ἐτιμᾶτο*[5] *καὶ Σκυθῶν καὶ τῶν τοιούτων ἐθνῶν, ἐπεὶ παρ' ἐκείνοις τῶν πολεμικῶν ἡ ἄσκησις τὰ μάλιστα ηὐδοκίμει*[6]. — *Ἐθέλω*[7] *παρὰ σοῦ ἀκούειν, ἥντινα γνώμην ἔχεις*[8] *περὶ τοῦ γήρως· ἐμοὶ γὰρ ὁ ἐν αὐτῷ βίος καταφαίνεται*[9] *δύσκολος.* — *Ἐάν τις μετὰ σπουδῆς ἐθέλῃ*[10] *οὑτινοσοῦν*[11] *τυγχάνειν*[12], *μὴ τυχὼν*[13] *μεγάλην ἔχει λύπην.* — *Ξενοφῶν περὶ Ἀγησιλάου φησί*[14]· *ποίας νεότητος*[15] *οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;* — *Τῇ αὐτῇ ἡμέρᾳ Γέλων ὁ Συρακούσιος τοὺς Καρχηδονίους τὴν ἐν Ἱμέρᾳ ναυμαχίαν*[16] *ἐνίκησε*[17], *καὶ οἱ*[18] *μετὰ Λεωνίδου περὶ Θερμοπύλας διηγωνίσαντο*[19] *πρὸς Ξέρξην.*

§. 53. 1) legte auf. 2) wie das lateinische aliis alios labores, den einen diese, den andern jene Beschwerden. 3) *φασίν:* wie man zu sagen pflegt, das lateinische ajunt. 4) haben. 5) wurde geehrt. 6) in Ehren stand. 7) *ἐθέλω ἀκούειν*, ich wünsche zu hören. 8) du hast. 9) erscheint. 10) will. 11) was immer, jedwedes; der Genetiv ist regiert von *τυγχάνειν*. 12) erlangen. 13) *μὴ τυχών*, wenn er es nicht erlangt. 14) sagt. 15) Der Genetiv regiert von *κρεῖττον*, s. §. 39, Anm. 8. 16) in der Seeschlacht. 17) besiegte. 18) *οἱ μετὰ Λ.*, die Krieger unter L. 19) kämpften.

XI.

Verba.

I. Verba auf ω.

A. Zeiten mit unverändertem Verbalstamm.

a. Präsens und Imperfect im Activ.

§. 54. *Τῷ λόγῳ προέχομεν τῶν ἄλλων ζῴων.* — *Ἡ Ἰνδικὴ χώρα διττοὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐκφέρει καρπούς.* — *Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι, καὶ οὐχ οἱ ἄνθρωποι τῶν συμφορῶν.* — *Μάλιστα γηράσκει παρ' ἀνθρώποις ἡ χάρις.* — *Οὐ χρὴ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως*[1]. — *Τὴν γῆν καλῶς μητέρα πάντων*[2]

προσαγορεύομεν. — *Πολλοὶ φιλόσοφοι ἐναντιώτατα*[3] *τοῖς αὑτῶν λόγοις ἐπιτηδεύουσι.* — *Φυλάττεις, ὦ πλούσιε, τὸ χρυσίον κατάκλειστον, ὥσπερ Δανάην*[4] *τινά*[5]. — *Μῦθός ἐστι λόγος ψευδής, εἰκονίζων ἀλήθειαν.*

§. 54. 1) d. i. die Absicht, welche sie bei ihren Unternehmungen hatten. 2) aller Wesen. 3) was ganz widersprechend ist. 4) welche ihr Vater Akrisios in einen Thurm eingesperrt hielt. 5) eine Art Danaë.

§. 55. *Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.* — *Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς φέρει.* — *Ἐξαίρετον ἀγαθὸν τῆς ἀνθρωπείας φύσεως τὸν λόγον ἔχομεν.* — *Φεῦγ'*[1] *ἡδονὴν φέρουσαν ὕστερον βλάβην.* — *Ἡ ἀρετὴ ἐν ἔργοις ἐστίν*[2], *οἷον*[3] *ἐν τῷ*[4] *δίκαια πράττειν καὶ σοφὰ καὶ ἀνδρεῖα.* — *Πενία τοῖς ἔχουσιν*[5] *οὐ μικρὰ νόσος.* — *Οἱ παῖδες ἀξίαν τιμὴν τοῖς γονεῦσι νεμέτωσαν.* — *Οἱ πένητες λαμβανόντων*[6] *παρὰ τῶν πλουσίων.* — *Μὴ κρῖνε ἐκ τῶν λόγων σοφὸν ἢ χρηστὸν ἄνδρα, τὸν δὲ βίον ἀεὶ ἐξέταζε· πολλοὶ γὰρ καλὰ μὲν λέγουσι, τὰ δ' ἔργα φαῦλα ἔχουσιν.*

§. 55. 1) *φεῦγε.* 2) beruht, ist enthalten. 3) Das latein. velut, wie, zum Beispiel. 4) Der Infinitiv erhält im Griechischen durch den Artikel die Geltung eines Substantivs, und kann durch alle Casus flectiert werden. 5) scil. *αὐτήν.* 6) Kann *λαμβανόντων* Particip sein, wo in dem Satze kein Verbum finitum steht?

§. 56. *Σόλων ὁ Ἀθηναῖος ἔλεγεν*[1]· *οἱ μὲν πύκται καὶ σταδιεῖς καὶ οἱ ἄλλοι ἀθληταὶ οὐδὲν ἀξιόλογον συμβάλλουσι ταῖς πόλεσιν πρὸς σωτηρίαν, οἱ*[2] *δὲ φρονήσει καὶ ἀρεταῖς διαφέροντες μόνοι οἷοί*[3] *τέ εἰσι, τὰς πατρίδας ἐν τοῖς κινδύνοις διαφυλάττειν.* — *Πέρσαι τοὺς νεκροὺς οὐκ ἔκαιον· θεὸν*[4] *γὰρ ἐνόμιζον εἶναι τὸ πῦρ· διὸ οὐδὲ δίκαιον εἶναι ἔλεγον, θεῷ νέμειν νεκρὸν ἀνθρώπου.* — *Πολλὰ σημεῖα καὶ χαρακτῆρας ἔγραφον Αἰγύπτιοι ἀντὶ γραμμάτων.* — *Ἐν τῷ τῶν θεῶν συμποσίῳ Ἀπόλλων ἐκιθάριζε καὶ αἱ Μοῦσαι ᾖδον*[5]. — *Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν εἴκαζεν.*

§. 56. 1) *λέγω.* 2) Man verbinde: *οἱ διαφέροντες φρονήσει* 2c. Wenn im Griechischen das Particip mit dem Artikel verbunden ist, hat man es im Deutschen durch einen Relativsatz aufzulösen; so hier *οἱ διαφέροντες*, diejenigen, welche sich auszeichnen. 3) *οἷός τέ εἰμι*, ich bin im Stande. 4) Man construiere: *ἐνόμιζον γὰρ τὸ πῦρ θεὸν εἶναι* (Acc. c Inf.) 5) *ᾄδω.*

§. 57. *Οἱ παλαιοὶ Ἕλληνες τὴν Δήμητρα θεσμοφόρον ὠνό-*

μαζον[1]. — *Πόλις Σιδὼν εὐδαιμονίᾳ διέφερεν*[2]. — *Ἐπίχαρμος ὁ ποιητὴς ἀπ' Ἀχιλλέως εἷλκε*[3] *τὸ γένος.* — *Λουκιανὸς πολλὰ εἰς τοὺς φιλοσόφους ἀπέσκωπτεν*[4]. — *Ποσειδῶν συνῆγε*[5] *τὰς νεφέλας καὶ ἐτάραττε τὸν πόντον, ἐμβάλλων τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνεν.* — *Μελάμπους ἐκ τῶν φωνῶν τῶν ὄρνεων προὔλεγε*[6] *τὰ μέλλοντα.* — *Ἐν Ἀσκάλωνι, πόλει τῆς Συρίας, τέμενος ἦν θεᾶς ἐπιφανοῦς, ἣν ὠνόμαζον οἱ Σύροι Δερκετώ· αὕτη δὲ τὸ μὲν πρόσωπον εἶχε γυναικός, τὸ δ' ἄλλο σῶμα πᾶν ἰχθύος.*

§. 57. 1) *ὀνομάζω.* 2) *διαφέρω.* 3) *ἕλκω.* 4) *ἀποσκώπτω.* 5) *συνάγω.* 6) *προλέγω*, s. Buttm. §. 86, Anm. 1; Englm. §. 106, 1.

XII.

b. Präsens und Imperfect im Passiv und Medium.

§. 58. *Τοῖς ἀμαθέσιν ὁ ἐν γήρᾳ βίος δύσκολος καταφαίνεται*[1]. — *Ταῖς τῶν πραγμάτων μεταβολαῖς πολλάκις καὶ ἡ τῶν φίλων εὔνοια συμμεταβάλλεται.* — *Ἐάν τι μὴ ἀληθὲς λέγῃς, μὴ βαρέως φέρε ὑπ' ἄλλων ἐλέγχεσθαι.* — *Ὦ νεανίσκοι, ἔχεσθε*[2] *παιδείας καὶ τρέπεσθε πρὸς τὰ βελτίω.* — *Πῶς μάχωμαι*[3] *θνητὸς ὢν*[4] *τῇ θείᾳ τύχῃ;* — *Βούλου ἀεὶ χρήσιμόν τι προσμανθάνειν.* — *Οἱ ἄνθρωποι τότε γίγνονται βελτίους, ὅταν τῷ θεῷ προσέρχωνται.*

§. 58. 1) ist Medium. 2) Imperativ im Medium. Ueber die Bedeutung von *ἔχω* im Medium mit Genetiv s. das Wörterverzeichniß. 3) Conjunctiv der zweifelnden Frage: wie soll ich kämpfen? 4) als Sterblicher.

§. 59. *Πάντες ἄνθρωποι βουλόμεθα εὖ πράττειν.* — *Σύμβουλος ἐσθλός, μὴ κακὸς γίγνου φίλοις.* — *Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.* — *Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος.* — *Ἀλέξανδρος ὑπ'*[1] *Ἀριστοτέλει τῷ φιλοσόφῳ ἐπαιδεύετο.* — *Περίανδρος ὁ Λακεδαιμονίων ναύαρχος ἐν Κνίδῳ πρὸς Κόνωνα τὸν Ἀθηναῖον ἀξίως τῆς πατρίδος*[2] *ἐμάχετο.* — *Πέρσαι ἀγάλματα καὶ βωμοὺς τοῖς θεοῖς οὐχ ἱδρύοντο.* — *Νέστωρ νέος ὢν παρὰ Γερηνίοις ἐτρέφετο.* — *Ὀρφεῖ κιθαρίζοντι ἐφείπετο*[3] *τὰ τετράποδα καὶ τὰ ὄρνεα καὶ τὰ δένδρα.*

§. 59. 1) unter der Leitung, nicht von. 2) Der Genetiv hängt von *ἀξίως* ab. 3) *ἐφέπομαι.* Ueber den Singular s. Buttm. §. 129, Anm. 3.

§. 60. *Ἐν Πλαταιαῖς τῇ Ἑλληνικῇ στρατιᾷ πολλὰ συνεβάλλετο*[1] *πρὸς τὴν νίκην ἡ τῶν τόπων στενοχωρία.* — *Πλάτων παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῶν γνωμῶν σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ.* — *Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ*[2] *γονέων ἀσήμων*[3] *εἶναι, ἔλεγε· καὶ μὴν διὰ τοῦτο ὤφειλον*[4] *μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.* — *Ἀγησίλαος ὁ Λακεδαιμονίων βασιλεὺς κόρου καὶ μέθης τὸ παράπαν ἀπείχετο*[5]. — *Οἱ Πυθαγόρειοι ᾤοντο*[6] *μηδὲν εἶναι μεῖζον κακὸν ἀναρχίας.*

§. 60. 1) trug bei, d. i. verhalf, von *συμβάλλω*. 2) darüber, daß er sei. 3) von unbekannten Eltern, Genetiv der Abstammung. 4) *ὤφειλον μᾶλλον*, ich sollte vielmehr, debebam potius. 5) *ἀπέχομαι*. 6) *οἴομαι*.

§. 61. *Ἀμείβου ταῖς προσηκούσαις χάρισι τοὺς εὐεργέτας.* — *Εἰ βούλει ἀγαθὸς γίγνεσθαι, πρῶτον πίστευε, ὅτι κακὸς εἶ.* — *Μηδεὶς οἰέσθω με λέγειν, ὡς ἔστι δικαιοσύνη διδακτόν*[1]. — *Μὴ αἰσχυνώμεθα*[2] *παρὰ ξένου τὰ συμφέροντα μανθάνοντες*[3]. — *Ἃ ἂν σοι λογιζομένῳ*[4] *φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις διαπράττου.* — *Χαρίλαος ὁ Λακεδαιμονίων βασιλεὺς ἀρίστην ἔλεγε πολιτείαν, ἐν ᾗ ἂν πλεῖστοι πολιτευόμενοι περὶ ἀρετῆς πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζωνται.* — *Κριτίας τε καὶ Ἀλκιβιάδης, ὄντε*[5] *φύσει*[6] *φιλοτιμοτάτω πάντων Ἀθηναίων, ἠβουλέσθην*[7] *πάντα δι' ἑαυτῶν πράττεσθαι.*

§. 61. 1) etwas Lehrbares, zu Erlernendes. Ueber das Neutrum s. Buttm. §. 129, Anm. 8. 2) Conjunctiv der Aufforderung: wir wollen (laßt uns) nicht schämen, wie im Lat. eamus. 3) zu erlernen. 4) beim Ueberlegen. 5) da sie waren. 6) von Natur aus. 7) *βούλομαι*.

XIII.

c. Präsens und Imperfect der Verba contracta.

§. 62. *Χρόνος πάντα ἀμαυροῖ καὶ εἰς λήθην ἄγει.* — *Ἐφορᾷ, ὡς ἔοικε*[1], *τὸν ἀνθρώπινον βίον νέμεσις τοῦ θεοῦ, ἣ τοὺς ὑπὲρ ἄνθρωπον*[2] *φρονοῦντας ταχὺ τῆς ἰδίας ἀσθενείας ὑπομιμνήσκει.* — *Οἱ ἀσύνετοι ἀγνοοῦσι, τί ποτέ ἐστιν ἐν τῷ βίῳ κατ' ἀλήθειαν ἀγαθόν.* — *Ἡ παιδεία ἡμεροῖ τὰς ψυχάς, ἀφαιροῦσα τὸ θηριῶδες καὶ ἄγνωμον.* — *Πᾶς*[3] *νοῦν ἔχων τιμάτω καὶ σεβέτω τὰς τῶν γονέων εὐχάς.* — *Οὐχ ὅταν ὁ ἄνθρωπος*

ἐν ἡδονῇ βιοῖ[4], τότε κατὰ φύσιν βιοῖ, ἀλλ' ὅταν ἐν ἀρετῇ. — Πολλοὶ δρῶντες[5] τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους ἀσκοῦσιν.

§. 62. 1) es scheint, von εἴκω. 2) über Menschenkräfte, über menschliches Ziel. 3) jeder. 4) ist Conjunctiv wegen ὅταν. 5) δράω.

§. 63. Ὀργή σε πολλὰ δρᾶν ἀναγκάζει κακά. — Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή. — Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν[1] εὐτυχῇ. — Εὐτυχοίης[2] καὶ τυγχάνοις ὧν ἐπιθυμεῖς. — Γονεῖς σὺ τίμα καὶ φίλους εὐεργέτει. — Ἃ μὴ δεῖ ποιεῖν, ταῦτα μηδὲ[3] ὑπονόει ποιεῖν. — Ὁ νόμος κελεύει τιμᾶν τοὺς τὴν πατρίδα ἐλευθεροῦντας. — Ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα. — Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλοσοφῶν τὴν ψυχὴν ἐξημεροῖ. — Νιόβη ζῶσα[4] λίθος ἐγένετο[5] ἐπὶ τῷ τύμβῳ τῶν παίδων.

§. 63. 1) καὶ ἐάν. 2) Optativ des Wunsches. Ueber die Form s. Buttm. §. 103, A. II, 3; Englm. §. 118. 3) nicht einmal. 4) von ζάω. 5) wurde.

§. 64. Ἀγησίλαος ὁ μέγας, ἐν μέσοις τοῖς στρατιώταις σκηνῶν, οὐδενὸς[1] ἀμείνονα κοίτην εἶχεν. — Οἱ παλαιοὶ Ἕλληνες ἐτίμων θεοὺς ἱεροῖς, ἀναθήμασι, θυσίαις, πανηγύρεσι, προσόδοις. — Σαλμωνεὺς Διὶ ἀντιβροντᾶν ἐτόλμα. — Ταινία παρ' ὅλην σχεδὸν τὴν Αἴγυπτον παρήκει, τοῖς ἀπείροις τῶν προσπλεόντων ἀθεώρητος. — Ἀπόλλων διὰ τῶν χρησμῶν καὶ τῶν θεραπειῶν εὐηργέτει[2] τὸ τῶν ἀνθρώπων γένος. — Πολλοὺς ἤδη, καταφρονεῖν παραινοῦντας χρημάτων[3], ἑώρων[4] ἀπρὶξ ἐχομένους[5] αὐτῶν. — Ἰσοκράτης παρῄνει[6] τῶν γονέων[7] τοὺς διδασκάλους προτιμᾶν· τοὺς[8] μὲν γὰρ τοῦ ζῆν, τοὺς δὲ τοῦ εὖ ζῆν εἶναι αἰτίους.

§. 64. 1) statt οὐκ ἀμείνονά τινος, kein besseres Lager als irgend einer. 2) εὐεργετέω. 3) Der Genetiv hängt von καταφρονεῖν ab. 4) ὁράω. 5) Das Particip ist von ἑώρων regiert (vidi multos mordicus pecuniam tenentes). 6) παραινέω. 7) Der Genetiv ist von προτιμᾶν regiert, in welchem Verbum ein Comparativbegriff liegt. 8) denn, sagte er, diese (τοὺς μὲν) — jene (τοὺς δέ) ꝛc.

§. 65. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. — Μιμοῦ τὰ σεμνά, μὴ μιμοῦ κακοὺς τρόπους. — Μακάριος[1], ὅστις οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ οὗτος, εἰς ἃ δεῖ, ταύτῃ[2] καλῶς. — Ἀρέσκου καὶ ἀγάπα τοῖς παροῦσι[3], καὶ μηδὲν αὐτῶν ἀφόρητον οἴου. — Πῶς ἂν τις ἧττον[4] ὑπὸ πόλεως ζημιοῖτο[5], πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς τῆς πόλεως νόμοις πείθεσθαι ἐπιχειροίη; — Πειρῶ τύχης ἄνοιαν εὐχερῶς φέρειν. —

Τοῖς μεριμνῶσι καὶ λυπουμένοις ἅπασα νὺξ μακρὰ φαίνεται. — Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, εἶπε[6]· *μὴ τῷ κιβωτῷ ἔχε*[7], *ἀλλὰ τῷ στήθει.*

§. 65. 1) scil. *ἐστίν*. 2) *τῇ οὐσίᾳ*. Der Dativ ist von *χρῆται* regiert (von etwas Gebrauch machen). 3) mit dem Gegenwärtigen, d. h. mit deinem Loose. 4) weniger, minder, minus, s. Buttm. §. 115, Anm. 7; Englm. §. 205. 5) *ἂν ζημιοῖτο*, könnte bestraft werden. 6) sagte. 7) man ergänze: *τὰ βιβλία*.

§. 66. *Ὀρφεὺς ὁ μελοποιὸς διαφερόντως ἐν ταῖς Θήβαις ἐτιμᾶτο. — Τὸ χρυσόμαλλον δέρας ἐν Κόλχοις ἐφρουρεῖτο ὑπὸ δράκοντος ἀΰπνου. — Εὐλαβοῦ τὰς διαβολάς, κἂν*[1] *ψευδεῖς ὦσιν*[2]· *οἱ γὰρ πολλοὶ*[3] *τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. — Ἐν Λακεδαίμονι τῇ εὐνομωτάτῃ οὐ πλήθει γραμμάτων*[4] *ἡ πόλις διῳκεῖτο*[5], *πολὺ δὲ μᾶλλον τοῖς τρόποις τῶν πολιτευομένων. — Οἱ Ἀθηναῖοι Σόλωνι νομοθέτῃ ἐχρῶντο*[6] *πρὸς τὴν πολιτείαν, καὶ ἠξίουν κατὰ τὰ προστάγματα αὐτοῦ βιοῦν. — Αἱ παλαιαὶ τῶν γυναικῶν*[7] *τοὺς πόδας σανδάλοις ὑπεδοῦντο*[8] *— Γανυμήδης ἐν τῷ Ὀλύμπῳ τοῖς θεοῖς ἐῳνοχόει*[9] *καὶ τοῦ συμποσίου ἐπεμελεῖτο. — Ὁ Χάλος, ποταμὸς τῆς Συρίας, ἦν πλήρης ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων*[10].

§. 66. 1) *καὶ ἐάν*. 2) Conjunctiv von *εἰμί*. 3) *οἱ πολλοί*, die meisten, die große Menge. 4) d. i. geschriebene Gesetze. 5) *διοικέω*. 6) *χρῆσθαι* mit doppeltem Dativ, einen als etwas haben, wie im Latein. z. B. uti aliquo magistro. 7) statt *αἱ παλαιαὶ γυναῖκες*, s. Buttm. §. 132, 5, Anm. 3. *παλαιός* bezieht sich nicht auf das physische Alter, sondern auf das historische: die Frauen der Vorzeit. 8) s. über die Contraction Buttm. §. 105, Anm. 2; Englm. §. 119 Anm. 9) *οἰνοχοέω*. 10) *ἐάω*.

XIV.

B. Zeiten mit verändertem Verbalstamm.

a. Activum.

§. 67. *Οὐδεὶς τῶν ἀνθρώπων παρὰ πάντα τὸν βίον εὐδαιμονήσει. — Χείλων δυσχεραίνοντός*[1] *τινος ἐπὶ τοῖς ἑαυτοῦ κακοῖς, εἶπεν· ‘εἰ τὰ πάντων*[2] *κατανοήσεις, ἧττον*[3] *ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις’. — Τοὺς γονέας ἐν τιμῇ ἔχων πράξεις*[4] *καλῶς. — Οἱ ἀνδρεῖοι ἀθάνατον μνήμην ἑαυτῶν καταλείψουσιν. — Οὐκ αἰνέσω ποτὲ τὸν χρηστὰ μὲν λέγοντα, κακὰ δὲ πράττοντα. — Οὐ νομίζω, ὑμᾶς ποτε ἐς τοσοῦτον*[5] *ἀμελείας καὶ*

παροράσεως ἥξειν, ὥστε ἐπιτρέπειν τινὰ μὴ δίκαια. — Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις[6] *φίλον. — Οἱ μὴ διαφυλάττοντες τὴν πρὸς τὸ θεῖον εὐσέβειαν πολὺ μᾶλλον οὐ*[7] *διατηρήσουσι τὰ πρ`ς ἀνθρώπους δίκαια. — Μακαριοῦμεν*[8] *τὸν γέροντα, καθ' ῞σον*[9] *ἐπιθυμιῶν ἐλεύθερός ἐστιν.*

§. 67. 1) statt *ἐπεὶ ἐδυσχέραινέ τις*. Wo der Lateiner den Abl. absol. setzt, gebraucht der Grieche den Gen. absol.; s. Buttm. §. 145, Anm. 2. 2) man ergänze *κακά*, wie auch zu *τοῖς σεαυτοῦ*. 3) s. §. 65, Anm. 4. 4) *πράττω*. 5) so weit in der Sorglosigkeit, eo negligentiae. 6) *ἔχω*, s. Buttm. §. 18, A. 4; Englm. §. 14, 1. 7) *πολὺ μᾶλλον οὐ*, noch viel weniger. 8) s. B. §. 95, A. 9; Engl. §. 172. 9) in wie weit, wofern.

§. 68. *Εὐρυσθεὺς τὰς Γηρυόνου τοῦ τρισωμάτου βόας Ἥρᾳ ἔθυσεν. — Ἥφαιστος προστάγματι Διὸς τὸν Τιτᾶνα Προμηθέα τῷ Καυκάσῳ προσήλωσεν. — Ζεὺς Γανυμήδη ἀπὸ τῆς Ἴδης ἥρπασεν*[1]. *— Οὐπώποτε ἐζήλωσα ἄνθρωπον πλούσιον, ἀπολαύοντα μηδὲν ὧν*[2] *ἔχει. — Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον. — Ἔνιοι λέγουσιν, Ὅμηρον πολὺν χρόνον ἐν Ἰθάκῃ τῇ νήσῳ διατρῖψαι. — Πᾶσιν ἀνθρώποις δαίμων ἐπέταξε*[3] *πόνους, ἄλλοις ἄλλους. — Αἱ τῶν φρενῶν ταραχαὶ πολλάκις καὶ*[4] *σοφὸν παρέπλαγξαν*[5]. *— Οἱ Θρᾷκες λέγονται*[6] *Ζάμολξιν τὸν νομοθέτην ἀπαθανατίσαι.*

§. 68. 1) *ἁρπάζω*. 2) Attraction für *μηδὲν τούτων ἅ*. 3) *ἐπιτάσσω*. 4) auch selbst. 5) *παραπλάζω*. 6) dicuntur.

§. 69. *Τοὺς πολεμίους οὐπώποτε ἐτρέσαμεν*[1]. *— Πῶς ἂν*[2] *ὁμονοήσαιεν ἄνθρωποι πονηροὶ ἀλλήλοις*[3]*; — Μὴ νομίσῃς εὐτυχὴς ὢν*[4] *τὸν αὐτὸν δαίμονα εἰς ἀεὶ ἕξειν. — Ῥᾴδιόν ἐστιν ἑτέρῳ παραινέσαι. — Δαναὸς ὁ Αἰγύπτιος συνῴκισε*[5] *τὴν ἀρχαιοτάτην σχεδὸν τῶν Ἑλληνικῶν πόλεων, Ἄργος. — Ἀπόλυσον ἡμᾶς τοὺς ἀναιτίους καὶ μὴ κολάσῃς. — Ἡρακλῆς τὸ σῶμα τῆς Λερναίας ὕδρας ἀνασχίσας, τῇ χολῇ τοὺς ὀϊστοὺς ἔβαψεν. — Ἡρακλῆς τὸν ἐν Νεμέᾳ λέοντα τοῖς βραχίοσιν ἀπέπνιξε, τὸν αὐχένα σφίγξας. — Λέγεται ἐν Κορίνθῳ ἐκθρέψαι*[6] *Πόλυβος τὸν Οἰδίπουν.*

§. 69. 1) *τρέω*. 2) *ἄν* mit Optativ steht im Griech., wo der Deutsche die Hilfszeitwörter möchte, dürfte, könnte rc. anwendet. 3) *ἀλλήλοις* ist mit *ὁμονοήσαιεν* zu verbinden. 4) wenn du bist. 5) *συνοικίζω*. 6) *ἐκτρέφω*.

§. 70. *Πόλεις ῞λας ἠφάνισε διαβολὴ κακή*[1]. *— Ὁ ἐλέφας πίνει ὕδωρ οὐ διειδὲς καὶ καθαρὸν ὄν*[2], *ἀλλ' ὅταν ὑποθολώσῃ*

τε καὶ ὑποταράξῃ. — Μηδέποτε ἀθυμήσῃς κακῶς πράττων, τὰ δὲ βελτίω ἀεὶ προσδόκησον. — Πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην δικαίως ἄν[3] τις[4] νομίσειε[5] τὴν τῆς ἱστορίας μάθησιν. — Οἱ πολέμιοι ἐν τῇ ἐφόδῳ ἐσάλπιγξαν καὶ ἠλάλαξαν. — Ἐλπίζειν χρὴ πάντα, διότι οὐδέν ἐστιν ἄελπτον· ῥᾴδιον γὰρ θεῷ πάντα τελέσαι. — Οἷον ἄν τις τῇ γῇ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἐκφόρια δεῖ προσδοκῆσαι· οὕτω καὶ ἐν νέῳ σώματι, ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο[6] καὶ θάλλει διὰ παντὸς τοῦ βίου.

§. 70. 1) boshaft. 2) wann es klar ist. 3) Ueber den Optat. mit ἄν s. §. 69, Anm. 2. 4) τὶς ist oft im Deutschen durch man zu übersetzen, besonders in Optativsätzen mit ἄν. 5) Ueber die Form s. Buttm. §. 103, Anm. II, 4; Englm. §. 122. 6) nemlich was man eingesät hat.

§. 71. Ἀρταξέρξης ὁ Περσῶν βασιλεὺς ἐτελεύτησεν, ἄρξας ἔτη τρία καὶ τεσσαράκοντα. — Μόρσιμος ὁ Τραχίνιος ὑφῆψεν[1] Ἡρακλεῖ τὴν πυράν. — Καπανέα ἀπειλήσαντα, καὶ ἄκοντος[2] Διὸς αἱρήσειν τὰς Θήβας, ὁ Ζεὺς ἐκεραύνωσεν. — Πρόκνη ἡ Τηρέως γυνὴ Ἴτυν τὸν παῖδα ἔσφαξε καὶ εἱστίασε τὸν πατέρα τῷ σώματι τοῦ παιδός. — Σαρδανάπαλος ὁ Ἀσσυρίων βασιλεὺς μετὰ τῶν θησαυρῶν ἑαυτόν τε καὶ τὰ βασίλεια κατακαῦσαι[3] λέγεται. — Λέγει ὁ μῦθος, ἐρίσαι ποτὲ Ἀθηνᾶν καὶ Ποσειδῶνα καὶ Ἥφαιστον εὐτεχνίας πέρι[4]· καὶ τὸν μὲν Ποσειδῶ ταῦρόν τινα ἀναπλάσαι, τὴν Ἀθηνᾶν δὲ οἰκίαν ἐπινοῆσαι, τὸν Ἥφαιστον δὲ ἄνθρωπον δημιουργῆσαι.

§. 71. 1) ὑφάπτω. 2) selbst wider den Willen des Zeus, etiam invito Jove. 3) κατακαίω. 4) s. Buttm. §. 117, 3, 1.

§. 72. Ὅμηρος γέγραφε ποιήσεις δύο, Ἰλίαδα καὶ Ὀδύσσειαν. — Τέρας ἐστὶν, εἴ τις διὰ παντὸς τοῦ βίου εὐτύχηκεν. — Οὗτος ὁ ἄνθρωπος μεγάλα ἡμᾶς ἠδίκηκε καὶ ὕβρικεν. — Ἡρακλῆς τὸν ἀετὸν ἀνῄρηκε[1], τὸν τὸ Προμηθέως ἧπαρ ἐσθίοντα. — Πολλοὶ τῶν φιλοσόφων τἄλλα μὲν πεφροντίκασιν[2], ὅπως δὲ κατεσθίειν ἔχοιεν[3], κατημελήκασιν. — Ἤδη πολλάκις γυμνικοὺς ἀγῶνας ἑωράκαμεν[4]. — Οὐ χρὴ ζητεῖν, εἰ ἔστι θεός, αὐτόθεν δὲ ἄριστον πεπιστευκέναι[5]. — Σαρδανάπαλος στολὴν μὲν γυναικείαν ἐνεδεδύκει[6], καθόλου δὲ βίον ἔζησε[7] γυναικώδη. — Θηβαῖοι τῶν ἄλλων Βοιωτῶν οὐκ ἄρχειν μόνον ἐπιχειροῦ-

σιν, ἀλλὰ τῶν[8] μὲν τὰ τείχη κατεσκάφασι[9], τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν.

§. 72. 1) *ἀναιρέω.* 2) *φροντίζω.* 3) *ἔχω κατεσθίειν*, ich habe zu essen, das französische j'ai de quoi vivre. Hier steht die Redensart in der Bedeutung: Lebensunterhalt gewinnen. 4) *ὁράω.* 5) Das Perfect hat im Griech. außer dem Begriffe der Vollendung bei einigen Verba noch die Nebenbedeutung eines verstärkten Präsens. 6) *ἐνδύω.* 7) *ζάω.* 8) *οἱ μὲν — οἱ δέ*, alii — alii. 9) *κατασκάπτω.*

§. 73. *Δοῦλος πεφυκὼς[1] εὐνόει τῷ δεσπότῃ. — Μέγιστόν ἐστι τοῖς ἐπταικόσι[2] παραμυθοῦντας φίλους ἔχειν. — Ἡ ἱστορία τοῖς μὲν νεωτέροις περιποιεῖ τὴν τῶν γεγηρακότων σύνεσιν, τοῖς δὲ πρεσβυτέροις πολλαπλασιάζει τὴν ὑπάρχουσαν ἐμπειρίαν. — Οὐκ ἤρκεσε τῷ θεῷ τοῦ σώματος τοῦ ἀνθρωπίνου μόνον προνενοηκέναι, ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσεν[3]. — Οὐ χαλεπόν ἐστι γιγνώσκειν, ὡς ἐπιμελῶς ὁ θεὸς πάντα τὰ ἐν τῷ κόσμῳ κατεσκεύακεν[4]. — Ὁ καθ' ἡμᾶς[5] βίος πᾶσαν πίστιν συγκέχυκεν[6]. — Ὁ καλὸς κἀγαθὸς ἔμοιγε δοκεῖ εἶναι ἀνὴρ εὐγενής, ὁ δ' ἄδικος, κἂν ἀμείνονος[7] πατρὸς Διὸς πεφύκῃ, δυσγενής ἐστιν. — Τῷ σώματι Σκύλλης κυνῶν κεφαλαὶ προσεπεφύκεσαν.*

§. 73. 1) wenn du bist; über die Bedeutung des Perf. von *φύειν* s. das Wörterverzeichniß. 2) *πταίω.* 3) *ἐμφύω.* 4) *κατασκευάζω.* 5) das Leben in unserer Zeit, d. h. das jetzige Leben. 6) *συγχέω.* 7) von einem besseren (edleren) Vater als Zeus.

§. 74. *Εὔπολις ὁ κωμικὸς λέγει περὶ Περικλέους, ὅτι μόνος τῶν ῥητόρων ἐγκατέλιπέ[1] τι κέντρον τοῖς ἀκούουσιν. — Τὰς συμφορὰς τῶν κακῶς πεπραγότων[2] οὐπώποτε ὕβρισα. — Νῖνος γεννήσας ἐκ Σεμιράμιδος υἱὸν Νινύαν ἐτελεύτησε, τὴν γυναῖκα ἀπολιπὼν βασίλισσαν τῶν Ἀσσυρίων. — Ἐπεὶ Ξέρξης εἰς Ἀθήνας ἤλαυνεν, Ἀθηναῖοι πληρώσαντες ἑκατὸν δέκα τριήρεις ἐφυγον[3] εἰς Σαλαμῖνα. — Πλοῦτος πολλάκις καὶ τὰς ὑγιεινὰς φύσεις ἔθρυψε καὶ περιήγαγεν[4] εἰς ἀσθένειαν ἐξ[5] ἐθῶν πολυτελῶν. — Οἱ πανοῦργοι καὶ κρυψίνοι τοῖς ὀφθαλμοῖς παραβλέπουσι καὶ δεινὸν[6] δεδόρκασιν.*

§. 74. 1) *ἐγκαταλείπω.* 2) *πράσσω.* 3) *φεύγω.* 4) *περιάγω.* 5) in Folge von. 6) *δεινὸν δέρκεσθαι*, furchtbar, wild blicken.

§. 75. *Ἔργον ἐστὶ λύπην ἐκφυγεῖν. — Τὴν χελιδόνα προσπετομένην περιμένουσι τετριγότες οἱ νεοττοί. — Ὄσιρις πολλὰ*

σημεῖα τῆς ἑαυτοῦ παρουσίας ἀπολέλοιπε[1] κατὰ τὴν τῶν Ἰνδῶν χώραν, ὥστε οἱ μεταγενέστεροι τῶν Ἰνδῶν ἠμφισβήτησαν τοῦ θεοῦ, λέγοντες Ἰνδὸν εἶναι τὸ γένος[2]. — Ὅτε Ξέρξης ἐκ τῶν Θερμοπυλῶν ἐπὶ τὴν Φωκέων χώραν προῆγεν, οἱ Φωκεῖς τὰς μὲν πόλεις ἁπάσας ἐξέλιπον πανδημεί, πρὸς δὲ τὰς δυσχωρίας τὰς ἐν τῷ Παρνασσῷ κατέφυγον. — Πολλοὶ τῶν κακῶς πεπραγότων σὺν ταῖς τύχαις τὸν νοῦν ἀποβάλλουσιν. — Ξέρξης διὰ τῆς Βοιωτίας διελαύνων τὰς Πλαταιὰς ἐρήμους οὔσας[3] κατέκαυσεν· οἱ γὰρ ἐν τῇ πόλει ταύτῃ κατοικοῦντες ἐπεφεύγεισαν εἰς Πελοπόννησον πανδημεί.

§. 75. 1) ἀπολείπω. 2) seinem Geschlechte, seiner Abkunft nach; s. Buttm. §. 131, 7. 3) das verlassen, entvölkert war.

XV.

b. Medium.

(Futurum und Aorist.)

§. 76. Τὰ τῶν Ἑλλήνων πράγματα ἀναγράφειν πειρασόμεθα. — Ποιητής τις λέγει· οὐ θαυμάζω πλοῦτον, ὃν καὶ ὁ κάκιστος ῥᾳδίως ἐκτήσατο[1]. — Οὐ χρὴ ἐπ' ἄλλων εὐτυχίᾳ ἄχθεσθαι, ἀλλ' ἥδεσθαι διὰ τὸ συγγενές[2]· οὐδεὶς γὰρ ὑπὸ τῆς τοῦ πέλας[3] εὐτυχίας τῆς ἑαυτῷ ὀφειλομένης εὐπραγίας ἀποστερήσεται[4]. — Πάντων ἰατρὸς ἀναγκαίων κακῶν χρόνος ἐστίν· οὗτος καὶ σὲ νῦν ἰάσεται. — Ἐάν τίς με λυπεῖν ἐθέλῃ, οἰμώξεται[5]. — Ἀθηνᾶ τὴν τῆς ἐσθῆτος κατασκευὴν καὶ τὴν τεκτονικὴν τέχνην καὶ ἔτι πολλὰς ἄλλας τέχνας καὶ ἐπιστήμας εἰσηγήσατο τοῖς ἀνθρώποις, ἀφ' ὧν Ἐργάνη προσηγορεύετο.

§. 76. 1) schon oftmals erworben hat; s. über den Aorist Buttm. §. 137, Anm. 5. 2) Neutrum des Abject. statt eines Substant. abstracti = διὰ τὴν συγγένειαν. 3) Das Adverbium erhält durch den Artikel im Griech. adjectivische Bedeutung; so hier ὁ πέλας (ὤν), der in der Nähe befindliche, d. i. der Nächste; s. Buttm. §. 125, 6. 4) Fut. Med. statt Passiv; s. Buttm. §. 113, 6. 5) οἰμώζω, über das Medium s. Buttm. §. 113, 5, mit Anm. 7.

§. 77. Ἡρακλῆς τοῖς Ὀλυμπίοις θεοῖς συνηγωνίσατο[1] τὸν πρὸς τοὺς Γίγαντας πόλεμον. — Θεμιστοκλῆς καὶ Ἀριστείδης πολλὰ καὶ καλὰ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ διεπραξάσθην[2]. — Σεμίραμις μέχρι γήρως βασιλεύσασα πολλὰ καὶ μεγάλα κατειργάσατο[3]. — Ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, τοῦτον ἔγωγε παντελῶς ἀνόητον ἡγησαίμην ἄν[4]. — Ἐὰν ἀγα-

θὸς δικαστὴς εἶναι ἐθέλῃς, ἀκρόασαι ἀμφοῖν[5]. — Ἰάσων ἐν Κορίνθῳ ἠγγυήσατο τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. — Τῷ δυστυχοῦντι τερπνὸν τὸ εἰπεῖν τὰς συμφορὰς καὶ πάλιν ἀποκλαύσασθαι[6]. — Κτησάμενος[7] τὸν λογισμὸν οὔτε πλούτου ἐπιθυμήσεις οὔτε πενίαν μέμψῃ[8].

§. 77. 1) συναγωνίζομαι. 2) διαπράττω. 3) κατεργάζομαι. 4) möchte ich halten, wäre ich geneigt zu h. 5) beide Parteien. 6) ἀποκλαίω. 7) das Particip mit wenn aufzulösen. 8) μέμφομαι.

§. 78. Οἱ Ἕλληνες τὸ πάλαι πρὸς λῃστείαν ἐτράποντο. — Λυκοῦργος τὸ πείθεσθαι[1] τοῖς νόμοις μάλιστα ἐνειργάσατο τῇ Σπάρτῃ. — Περὶ τῆς Μεδούσης ἔλεγεν ὁ μῦθος, ὅτι τοὺς θεασαμένους αὐτὴν ἀπελίθου. — Οὗ ἅψαιτο[2] Μίδας ἢ τῇ χειρὶ ἢ τῷ στόματι, ἐγίγνετο χρυσός. — Ὄσιρις λέγεται τὴν πορείαν ποιήσασθαι ἀπ' Αἰγύπτου δι' Ἀραβίας παρὰ τὴν ἐρυθρὰν θάλασσαν μέχρις Ἰνδῶν καὶ τοῦ πέρατος τῆς οἰκουμένης. — Μίνως ὁ τῆς Κρήτης βασιλεὺς ἐκτήσατο δύναμιν ναυτικὴν μεγάλην, καὶ τῶν νήσων τὰς πλείστας κατεστρέψατο, καὶ πρῶτος τῶν Ἑλλήνων ἐθαλαττοκράτησεν.

§. 78. 1) Gehorsam gegen ꝛc. 2) ἅπτομαι. Davon hängt οὗ ab.

§. 79. Τοιοῦτος γίγνου περὶ τοὺς γονέας, οἵους ἂν εὔξαιο[1] περὶ σεαυτὸν γενέσθαι[2] τοὺς σεαυτοῦ παῖδας. — Ἐπεὶ οἱ Ἡρακλεῖδαι ἐκράτησαν Πελοποννήσου, τρεῖς ἱδρύσαντο βωμοὺς πατρῴου Διός, καὶ ἐπὶ τούτων ἔθυσαν καὶ ἐκληρώσαντο τὰς πόλεις. — Οἱ ἑπτὰ Πέρσαι[3] μετὰ τὸν Σμέρδιος θάνατον περὶ τῆς βασιλείας ἐβουλεύσαντο τοιόνδε· ὅτου[4] ἂν ὁ ἵππος ἡλίου ἀνατέλλοντος[5] πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ, τοῦτον ἕξειν[6] τὴν βασιλείαν. — Πολλοὶ ἤδη σοφοὶ ἐπολιτεύσαντο, Πίττακος, Σόλων, Λυκοῦργος, Ζάλευκος, ἄλλοι μυρίοι. Ἁρμόττει γὰρ τῷ σοφῷ πολιτεύεσθαι· τίς γὰρ ἄμεινον[7] αὐτοῦ συμβουλεύσεται τὸ συμφέρον, καὶ νόμους καὶ ψηφίσματα εἰσηγήσεται, καὶ ἀδωροδόκητα ταῦτα καταπράξεται;

§. 79. 1) εὔχομαι; ſ. §. 69, Anm. 2. 2) Inf. Aor. von γίγνομαι. 3) Die Ermordung des Magiers Smerdis, der sich für den ermordeten Smerdis, einen Bruder des Kambyses, ausgab und des persischen Thrones bemächtigt hatte, wurde durch sieben vornehme Perser bewerkstelligt, die auf die erzählte Weise über die Thronfolge entschieden. 4) ſ. Buttm. §. 77, 3; Englm. §. 93, 2. 5) bei Aufgang der Sonne. 6) solle erhalten. 7) Comparativ des Adverbs, ſ. Buttm. §. 115, 5.

XVI.

c. Passivum.

§. 80. Ὠρίων, δισκεύειν Ἄρτεμιν προκαλεσάμενος, ὑπ' αὐτῆς ἐτοξεύθη. — Δέκατος ἆθλος ἐτάχθη[1] Ἡρακλεῖ, τὰς Γηρυόνου βόας ἐξ Ἐρυθείας κομίζειν. — Ἑλένη ὑπ' Ἀλεξάνδρου τοῦ[2] Πριάμου ἡρπάσθη[3]. — Τῶν Ἑλληνικῶν πλαστῶν Φειδίας καὶ Πολύκλειτος καὶ Μύρων καὶ Πραξιτέλης μάλιστα ἐπηνέθησαν[4] καὶ ἐθαυμάσθησαν. — Θάμυρις, κάλλει διαφέρων καὶ κιθαρῳδίᾳ, περὶ μουσικῆς ἤρισε Μούσαις· ἡττηθεὶς δ' ὑπ' αὐτῶν τῶν ὀμμάτων καὶ τῆς κιθαρῳδίας ἐστερήθη. — Ἄμυκος λέγεται ὑφ' ἑνὸς τῶν Διοσκούρων καταπαλαισθῆναι.

§. 80. 1) τάσσω. 2) dem Sohne des P. 3) ἁρπάζω. 4) ἐπαινέω.

§. 81. Ἀδύνατόν ἐστι τὸν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἀνάγειν. — Βουλεύου πολλὰ[1] πρὸ τοῦ λέγειν ἢ πράττειν· οὐ γὰρ ἄδεια[2] ἀνακαλέσασθαι τὰ λεχθέντα ἢ πραχθέντα. — Ὁ ἱερόσυλος ὑπ' ἀγρίων θηρίων διασπασθήτω. — Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια φρονεῖν. — Ἄνευ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη οὔτ' οἶκος καλῶς οἰκηθείη. — Οὔποτε καλοὺς καρποὺς ἄμπελοι γεννήσουσι, μὴ φυτοτροφηθεῖσαι[3] καλῶς. — Λέγουσι[4] τὸν Ἡρακλέα ἐν τῇ Οἴτῃ κατακαυθέντα[5] θεὸν γενέσθαι[6].

§. 81. 1) vielfach, reiflich. 2) sc. ἐστίν. 3) Das Partic. ist durch wenn aufzulösen. 4) dicunt, tradunt. 5) κατακαίω. 6) Aor. 2. Inf. von γίγνομαι.

§. 82. Οὐκ ἐάν τις πολλὰ λέγῃ, θαυμασθήσεται, ἀλλ' ἐὰν χρήσιμα[1]. — Πλάτων ἐρωτηθείς, πόσην δεῖ οὐσίαν ἔχειν, εἶπεν· ὅσην ἔχων οὔτ' ἐπιβουλευθήσῃ[2], οὔτε τῶν ἀναγκαίων ἀπορήσεις. — Εἰ ὁ ἀνθρώπων χρήματα κεκλοφὼς[3] κολάζεται, πόσῳ μᾶλλον κολασθήσεται ὁ τὰ[4] τῶν θεῶν συλήσας; — Πελίᾳ τῷ Ἰωλκοῦ βασιλεῖ ἐχρήσθη[5] ὑπὸ τοῦ μονοπεδίλου[6] ἀναιρεθήσεσθαι. — Ὁρᾶτε, ὦ ἄνδρες δικασταί, εἰ[7] δικαίως κολασθησόμεθα. — Δημοσθένης ὁ ῥήτωρ ἔλεγε, πόλεως εἶναι ψυχὴν τοὺς νόμους· ὥσπερ δὲ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις, μὴ ὄντων νόμων[8], καταλυθήσεται.

§. 82. 1) scil. λέγῃ. 2) man sagt zwar im Activ ἐπιβουλεύειν τινί, aber im Passiv ἐπιβουλεύομαι, mir wird nachgestellt, ich erleide Nachstellung. 3) ὁ — κεκλοφώς, einer, der gestohlen hat, von

κλέπτω. 4) τὰ τ. θεῶν, das Eigenthum der Götter. 5) χράω; s. Buttm. §. 100, Anm. 2 und §. 112, 20. 6) nemlich von Jason. 7) ob. 8) μὴ ὄντων νόμων, wann keine Gesetze bestehn.

§. 83. Ἀχιλλεὺς παρὰ τῷ Κενταύρῳ Χείρωνι μυελῷ λεόντων ἐτράφη[1]. — Ἡρακλῆς ἐν τῇ Οἴτῃ κατεφλέγη[2]. — Ἡ Νῖνος κατεσκάφη[3] ὑπὸ Μήδων, ὅτε κατέλυσαν τὴν Ἀσσυρίων ἀρχήν. — Τόξαρις ὁ Σκύθης ὑπ' Ἀθηναίων εἰς τοὺς Ἀττικοὺς ἥρωας ἐγκατελέγη[2]. — Μέλλομεν[4] ἐγγραφήσεσθαι εἰς τὴν τάξιν τῶν στρατευομένων. — Σαρδαναπάλῳ τῷ Ἀσσυρίων βασιλεῖ πάντες οἱ ἐν τοῖς βασιλείοις συγκατεκάησαν[5]. — Ῥῆσος ἐπὶ Τροίᾳ ἐτελεύτησεν ὑπὸ Διομήδους πληγείς. — Οἱ κόρακες τοὺς ἐκτραφέντας νεοττοὺς ἐκ τῆς καλιᾶς ἐκβάλλουσιν.

§. 83. 1) τρέφω. 2) s. Buttm. §. 100, Anm. 5. 3) κατασκάπτω. 4) Die Umschreibung des Futuri mit μέλλειν geschieht, wenn von einer Handlung die Rede ist, die so eben begonnen werden soll; dabei wird sehr häufig beim abhängigen Verbum der Infinitiv Futuri angewendet. 5) συγκατακαίω. Von diesem Verbum ist der Dativ Σαρδαναπάλῳ regiert.

§. 84. Πεπείραμαι[1] λίαν, ὡς πάντες ἄνθρωποι φίλοι εἰσὶ τῶν πλουσίων. — Ὁ ἀνθρώπινος βίος τὸ μήκιστον[2] εἰς ἔτη ἑκατὸν περιγέγραπται. — Ὁ ἐλέφας μυκτῆρα κέκτηται[3] χειρὸς παγχρηστότερον. — Οἱ γέροντες τῶν ἐπιθυμιῶν ἐστέρηνται, οὐδὲν[4] ὑπ' αὐτῶν ἐνοχλούμενοι. — Ὁρᾷς, ὅτι τεταλαιπωρήμεθα διὰ τὸν πόλεμον καὶ μεγάλων ἀγαθῶν ἐστερήμεθα. — Οἱ τετυφωμένοι ἀλαζόνες γίγνονται. — Οἷς ἂν αἱ ἐπιθυμίαι χαλάσωσιν, οὗτοι δεσποτῶν πάνυ πολλῶν καὶ χαλεπῶν ἀπηλλαγμένοι[5] εἰσίν. — Καλός ἐστιν ἄνθρωπος, τὴν ψυχὴν παιδείᾳ κεκοσμημένος[6].

§. 84. 1) ist Perfect Medii. 2) höchstens, von μακρός. 3) κτάομαι. 4) in nichts, Verstärkung der einfachen Negation. 5) ἀπαλλάσσω. 6) ist Perfect Medii: der sich die Seele ausgeschmückt hat, d. h. dessen Seele geschmückt ist.

§. 85. Ἄνθρωπος ὢν μέμνησο[1] τῆς κοινῆς τύχης. — Τὸ ἐψεῦσθαι[2] τῆς ἀληθείας κακόν. — Ὁπηνίκα τις ἐκ μακρᾶς καὶ ἐπικινδύνου ἀποδημίας ἐσώθη[3], ἔφασκον οἱ Ἕλληνες, ἐξ Ἅιδου αὐτὸν διασεσῶσθαι. — Τῶν ἀνθρώπων οἱ μὲν ἐν ἔθεσι κρείττοσιν, οἱ δ' ἐν χείροσι τεθραμμένοι[4] εἰσίν. — Τῆς ἀγνοουμένης ἀρετῆς ὡς τοῦ κατορωρυγμένου[5] χρυσίου ἡ λαμπρότης οὐ φαίνεται. — Ἔργον τι ἑκάστῳ τῶν πολιτῶν ἐν τῇ πόλει

προστετάχθω. — Ἐξελήλεγξαι[6], ὦ πονηρότατε, ἡμᾶς ἀπατήσας. — Ἡδὺ τοῖς σωθεῖσι μεμνῆσθαι τῶν πόνων. — Δέδοκται[7] τὸ πρᾶγμα· ὁ κύβος ἀνερρίφθω[8].

§. 85. 1) von μνάω, s. unter μιμνήσκω. 2) Perf. Med. von ψεύδομαι. 3) s. Buttm. im Verz. der Anomalen; Englm. §. 153 a, A. 3. 4) τρέφω. 5) κατορύσσω. 6) ἐξελέγχω. 7) beschlossen ist die That, von δοκέω. 8) wie das latein.: jacta alea esto.

§. 86. Τυφῶνος πᾶν τὸ σῶμα κατεπτέρωτο. — Τῶν ἐννέα Μουσῶν ἡγεῖτο ὁ Ἀπόλλων, ἀφ' οὗ καὶ Μουσηγέτης ὠνόμαστο. — Ἐν Πασαργάδαις τάφος ἦν Κύρου, τοῦ πρώτου Περσῶν βασιλέως, ἐν ᾧ τάδε ἐπεγέγραπτο· ‛Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι, ὁ[1] τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας· μὴ οὖν φθονήσῃς[2] μοι τοῦ μνήματος.' — Ἐπεὶ Κύρῳ τῷ νεωτέρῳ, μέλλοντι στρατεύσεσθαι[3] ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην, μισθοφόρων πλῆθος ἱκανὸν συνῆκτο[4] καὶ τὰ[5] πρὸς τὴν στρατείαν εὐτρέπιστο, ὥρμησεν ὡς[6] ἐπὶ τὴν Κιλικίαν ἄξων τὴν δύναμιν.

§. 86. 1) jener Cyrus, der erworben hat. 2) neide mir nicht mein Grabmal, so viel als: verletze nicht mein Grab, laß meine Gebeine in Frieden ruhen. 3) s. §. 83, Anm. 4. 4) συνάγω. 5) was zum Feldzug gehörte. 6) ὡς mit Particip drückt hier ein Vorgeben aus. Cyrus verbarg nemlich seinen Truppen, daß er einen Zug gegen seinen Bruder Artaxerxes, den König von Persien, vorhatte.

§. 87. Κάλλιστόν τοι τοῦτο λέγεται καὶ λελέξεται[1], ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. — Φράσον ὅ,τι[2] με δεῖ ποιῆσαι, καὶ πεπράξεται[3]. — Ἡ πολιτεία καλῶς κεκοσμήσεται, ἐὰν οἱ αὐτὴν ἐπισκοποῦντες φύλακες τούτων[4] ἐπιστήμονες ὦσιν[5]. — Εὖ με ἐποίησας· εὐεργέτης εἰς ἀεὶ ἀναγεγράψῃ. — Οἱ ἀργυρογνώμονες διαγιγνώσκουσι, τίνα τῶν νομισμάτων ἐστὶ δόκιμα καὶ ακίβδηλα, καὶ τίνα παρακεκομμένα. — Πειρατέον[6] τοὺς νεανίσκους ἀκολασίας ἀποτρέπειν. — Πειστέον[7] τοῖς νόμοις. — Σωφροσύνην μὲν διωκτέον[8] καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον. — Συνεθιστέον τοὺς παῖδας ἀεὶ τἀληθῆ λέγειν.

§. 87. 1) Ueber die Bedeutung des Fut. 3. s. Buttm. §. 138, 2 und 3. 2) ὅστις. 3) s. Buttm. §. 138, Anm. 4) hierin, d. h. in dem, was die Bewachung des Staats betrifft. 5) Conjunctiv von εἰμί. 6) mit Ergänzung von ἐστί, wie bei den folgenden Verbaladjectiven. 7) Adj. verb. von dem Medium πείθεσθαι, gehorchen. 8) Es könnte auch heißen, wie die latein. Construction immer verlangt: σωφροσύνη διωκτέα ἐστὶ καὶ ἀσκητέα κc.

XVII.

d. Verba liquida.

§. 88. *Τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια; — Οὗτος μάλιστα πάντων φιλοπάτωρ ἐστίν, ὅστις μηδὲν*[1] *λυπήσει τὸν πατέρα καὶ πλεῖστα εὐφρανεῖ. — Οὐδεὶς ἀνθρώπων μέχρι τέλους εὐτυχὴς ἔμεινεν*[2]*. — Ἔσφηλεν*[3] *ἡ τύχη, οὓς ἂν ὑψώσῃ. — Τῇ ῥητορικῇ τέχνῃ ἐφάνη*[4] *φῶς λαμπρότατον Ἰσοκράτης. — Ὑπὸ πολλοῦ οἴνου ταχὺ*[5] *ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται. — Διογένης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἔνδοξος ἐγένετο*[6]*, ἀπεκρίνατο· ‘ὅτι ἥκιστα*[7] *δόξης φροντίζων.’ — Μανεὶς*[8] *Αἴας ἑαυτὸν ἐφόνευσεν. — Δυστυχῶν κρύπτε*[9]*, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.*

§. 88. 1) in nichts. 2) *μένω*. 3) hat schon oft zu Fall gebracht (von *σφάλλω*). Ueber den Aorist s. Buttm. §. 137, Anm. 5. 4) *φαίνω*. 5) ist hier Adverbium. 6) *γίγνομαι*. 7) *ὅτι ἥκιστα*, quam minime. 8) *μαίνομαι*. 9) man ergänze: *ὅτι δυστυχεῖς*.

§. 89. *Ἐσφάλην τῆς καλῆς ἐλπίδος. — Ἐτεοκλῆς καὶ Πολυνείκης, περὶ τῆς βασιλείας μονομαχοῦντε, ἀλλήλους ἀπεκτεινάτην. — Ἀπόκριναί μοι, ὅ,τι*[1] *σε ἐρωτήσω. — Ἀπόλλων τὸν ἐρώμενον Ὑάκινθον δίσκῳ βαλὼν ἀπέκτεινεν. — Ὁ πλοῦτος Τίμωνι τῷ Ἀθηναίῳ μυρίων κακῶν αἴτιος κατέστη*[2]*, μῖσος ἐπεγείρας*[3] *καὶ ἡδυπαθείᾳ διαφθείρας καὶ ἐπίφθονον ἀποφήνας*[4]*. — Κατὰ*[5] *τὸν λοιμὸν τὸν μέγαν οἱ Ἀθηναῖοι τοὺς στενωποὺς οἴνῳ πολλῷ ἔρραναν*[6]*. — Ὁ μετὰ δόξης*[7] *θάνατος τοῦ μετ’ αἰσχύνης βίου αἱρετώτερος παρ’ ἐμοὶ*[8] *κριθήσεται*[9]*. — Μήδεια, ἀποκτείνασα τοὺς ἑαυτῆς παῖδας, ἐφ’ ἅρματος δρακόντων πτερωτῶν ἐκ Κορίνθου εἰς Ἀθήνας ἔφυγεν.*

§. 89. 1) um was. 2) wurde, von *καθίστημι*. 3) ergänze zum Particip *αὐτῷ*, und zum folgenden *αὐτόν*. 4) *ἀποφαίνω*. 5) während, zur Zeit. Es ist von der Pest die Rede, die zur Zeit des peloponnesischen Krieges 430 v. Chr. in Athen wüthete. 6) *ῥαίνω*. 7) ein ehrenvoller Tod. 8) nach meinem Urtheil. 9) *κρίνω*.

§. 90. *Ἐὰν μὴ φυλάσσῃς τὰ μικρά, ἀποβαλεῖς τὰ μεγάλα. — Κάδμος ἐκήρυξε τῷ τὴν Σφίγγα ἀποκτενοῦντι δώσειν*[1] *χρήματα πολλά. — Ὅσοι*[2] *τυφλὸν*[3] *Ὅμηρον ἀπεφήναντο, αὐτοί μοι δοκοῦσι τὴν διάνοιαν*[4] *πεπηρῶσθαι. — Περσεὺς ἀπέτεμε τῆς Μεδούσης τὴν κεφαλήν. — Ἀντίοχος ὁ μέγας ἐν τῇ πρὸς*

Γαλάτας μάχῃ μετὰ τῶν ἐλεφάντων τὴν ἵππον[5] *αὐτῶν ἔφθειρεν. — Ἀκταίων λέγεται ὑπὸ τῶν ἰδίων κυνῶν διασυρῆναι. — Θησεὺς ἐκάθηρε*[6] *τῶν κακούργων τὴν ὁδὸν, τὴν ἐς Ἀθήνας ἐκ Τροιζῆνος φέρουσαν. — Μαρσύας, ὃς Ἀπόλλωνι περὶ μουσικῆς ἐρίσας ἡττήθη, ὑπ' αὐτοῦ ἐξεδάρη*[7].

§. 90. 1) *ἐκήρυξε δώσειν*, ließ verkünden, daß er geben werde. 2) quicumque. 3) ist Prädicat. 4) Accusativ des Bezugs: in ihrem Verstande. 5) s. Buttm. §. 32, A. 3; Englm. §. 30. 6) *καθαίρω*. 7) *ἐκδέρω*.

§. 91. *Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας, τὸν ἑαυτῆς παῖδα ἐπισφάξασα Μελικέρτην, ἥλατο*[1] *σὺν αὐτῷ εἰς τὴν θάλασσαν. — Τὸν δεινὸν ὄντα λέγειν*[2] *κεχηνότες*[3] *οἱ πολλοὶ*[4] *ἀκούουσι, θαυμάζοντες καὶ εὐδαιμονίζοντες ἐπὶ τῇ δυνάμει τῶν λόγων. — Ἰοβάτης Βελλεροφόντῃ ἐπέταξε τὴν Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν διὰ τοῦ θηρίου διαφθαρήσεσθαι. — Ἡρακλῆς ὁμολογεῖται*[5] *πάντα τὸν γενόμενον*[6] *αὐτῷ κατ' ἀνθρώπους χρόνον ὑπομεῖναι μεγάλους καὶ συνεχεῖς πόνους καὶ κινδύνους ἑκουσίως, ἵνα τὸ γένος τῶν ἀνθρώπων εὐεργετήσειεν.*

§. 91. 1) *ἅλλομαι*. 2) Der Infinitiv hängt von *δεινόν* ab; s. im Wörterverz. unter *δεινός*. 3) *χαίνω*. 4) s. §. 66, 3. 5) ist persönlich construiert, wie das lat. dicitur. 6) 'die ganze Zeit, die er unter den Menschen verlebte.'

§. 92. *Μὴ ἐπιχαρῇς ταῖς ἀτυχίαις τῶν πέλας*[1]. — *Τοὺς λόγους οὐ μηκυνοῦμεν, ἡγούμενοι βραχεῖς*[2] *ἀρκέσειν. — Ἱκανή ἐστιν ἡ φιλαυτία τὰ μὲν ἴδια μεγαλοποιῆσαι καὶ ἀποκυδῆναι, τὰ δὲ τῶν ἄλλων*[3] *κατασμικρῦναι καὶ διαφαυλίσαι. — Οὐ χρή ποτε τὴν τύχην ἀνδρὸς εὖ πράσσοντος εὐδαιμονίσαι, πρὶν ἂν αὐτῷ ὁ βίος παντελῶς ἐκπερανθῇ. — Ὁ τὴν ψυχὴν*[4] *κεκαθαρμένος*[5] *μᾶλλόν ἐστι κεκοσμημένος ἢ ὁ καλὰς ἐσθῆτας ἐνδυόμενος. — Ἡ μεγάλη στρουθὸς πτεροῖς μὲν λασίοις ἐπτέρωται, ἀρθῆναι*[6] *δὲ καὶ εἰς βαθὺν ἀέρα μετεωρισθῆναι φύσιν οὐκ ἔχει*[7].

§. 92. 1) s. §. 76, 3. 2) neml. *λόγους*. 3) *τὰ τῶν ἄλλων*, das Fremde. 4) in der Seele (wörtlich: wer seine Seele sich gereinigt hat). 5) *καθαίρω*. 6) *αἴρω*. 7) hat er nicht die Natur, d. h. die Natur hat ihm versagt.

§. 93. *Ἀρταξέρξης, ὁ τῆς Ἀσίας βασιλεὺς, καταπεπολεμηκὼς Κῦρον τὸν ἀδελφὸν, ἀπέστειλε Φαρνάβαζον παραληψόμενον*[1] *πάσας τὰς ἐπὶ θαλάσσῃ πόλεις. — Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους τῶν τελευτησάντων ἐπέβαλλον, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς*[2] *εἴη. — Διόνυσος Λυ-*

κούργῳ τῷ Ἠδωνῶν βασιλεῖ μανίαν ἐνέβαλεν. Ὁ δὲ[3] *μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινεν. — Λέγουσι Κάδμον τὸν*[4] *Ἀγήνορος ἐκ Φοινίκης ὑπὸ τοῦ βασιλέως ἀποσταλῆναι πρὸς ζήτησιν τῆς Εὐρώπης.*

§. 93. 1) um zu übernehmen (von *παραλαμβάνω*), neml. zur Verwaltung. 2) *ἀποκτείνω*. Ueber die periphrastische Form des Optativs s. Buttm. §. 137, Anm. 12. 3) *ὁ δέ*, dieser aber; s. Buttm. §. 126, 4. 4) scil. *υἱόν*.

§. 94. *Τίς ἂν πιστεύσειεν*[1], *ὅτι ἐκ τῶν ὑπὸ Κάδμου σπαρέντων ὀδόντων τοῦ δράκοντος ἔφυσαν*[2] *ἔνοπλοι ἄνδρες; — Αἰσχυνθείην*[3] *ἄν, εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ*[4] *δόξης ἢ τῆς κοινῆς σωτηρίας. — Αἱ τύχαι αἱ τῶν βροτῶν ῥᾳδίως μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ, πάλιν ὀρθοῦται, καὶ ὁ πρὶν εὐτυχήσας πίπτει. — Μίλων ὁ Κροτωνιάτης ταῦρον ἀράμενος*[5] *ἐν Ὀλυμπίᾳ ἔφερε διὰ μέσου τοῦ σταδίου. — Πυθαγόρας καί τινες τῶν παλαιῶν φυσικῶν ἀπεφήναντο, τὴν ἀνθρωπίνην ψυχὴν εἶναι ἀθάνατον. — Λέγουσι παρὰ Μοσυνοίκοις, ἔθνει βαρβαρικῷ, ἅπαντας ἐκ παιδὸς στίγμασι τόν τε νῶτον καὶ τὰ στήθη καταπεποικίλθαι*[6].

§. 94. 1) s. §. 69, Anm. 2. 2) entstanden sind; Aor. 2. Act. (*ἔφυν*) von *φύω*. 3) Aor. Pass. mit medialer Bedeutung. 4) s. §. 50, Anm. 4. 5) *αἴρω*. 6) Perf. Med.

§. 95. *Παιδάριτος ὁ Λακεδαιμονίων στρατηγός, λέγοντός*[1] *τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι· ‘οὐκοῦν’ ἔφη ‘ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα*[2]*, πλείους γὰρ ἀποκτενοῦμεν’. — Μήδεια ἐπηγγείλατο τῷ Ἰάσονι συνεργήσειν*[3] *πρὸς τὴν κατάζευξιν τῶν χαλκοπόδων ταύρων καὶ τὸ χρυσόμαλλον δέρας ἐγχειριεῖν*[4]*, ἐὰν αὐτὴν λάβῃ*[5] *γυναῖκα καὶ εἰς τὴν Ἑλλάδα σύμπλουν αγάγηται*[6]. *— Ἡ Ἀττικὴ χώρα τῆς Ἀθηνᾶς*[7] *ἐκρίθη, ὅτι πρῶτον τὴν ἐλαίαν ἐν αὐτῇ ἐφύτευσεν. — Ἐπὶ Δευκαλίωνος ὑποβρυχίων ἁπάντων καταδεδυκότων*[1] *ἓν μόνον κιβώτιον περιεσώθη, προσοκεῖλαν τῷ Λυκωρεῖ.*

§. 95. 1) s. §. 67, Anm. 1. 2) Futur von *εἰμί*. 3) Infin. Fut. nach den Verba des Versprechens, Hoffens. 4) Buttm. §. 95, 9; Englm. §. 172. 5) Aor. 2. von *λαμβάνω*. 6) *ἄγω*. 7) Genetiv des Besitzes; s. unter *κρίνω*.

§. 96. *Κίμβροι πολλὰς καὶ μεγάλας Ῥωμαίων δυνάμεις κατακόψαντες καὶ μυριάσι*[1] *τεσσαράκοντα τὴν ἐπὶ τὴν Ἰταλίαν στρατείαν στειλάμενοι, ταῖς τῶν Ῥωμαίων ἀνδραγαθίαις ἀρ-*

δην κατεκόπησαν. — Ἡσίοδος λέγει, ὡς αἱ Προίτου θυγατέρες, ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο. — Ὅτε οἱ θεοὶ τὰς πόλεις διεκληροῦντο, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος, Ποσειδῶν ἧκεν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν. — Τόξαρις ὁ Σκύθης ἐν Ἀθήναις τεθαμμένος ἦν· καὶ ἐπὶ τῇ στήλῃ αὐτοῦ Σκύθης ἀνὴρ ἐνεκεκόλαπτο[2], τῇ λαιᾷ μὲν τόξον ἔχων ἐντεταμένον[3], τῇ δεξιᾷ δὲ βιβλίον.

§. 96. 1) *μυριάσι* scil. *ἀνδρῶν*. Der Dativ steht auf die Frage womit? von Truppen als den Werkzeugen einer Kriegsführung 2c., wie im Lat. der Ablativ. 2) *ἐγκολάπτω*. 3) *ἐντείνω*.

XVIII.

Vermischte Beispiele über das regelmäßige Verbum auf *ω*.

§. 97. *Αἱ τοῦ ἔτους ὧραι κατὰ καιρὸν τὰς μεταβολὰς λαμβάνουσιν. — Οὐ τοῦ δοκεῖν[1] σοι μελέτω, ἀλλὰ τῆς ἀληθείας. — Οἱ ἐν πολυτελέσι βρώμασι καὶ ποτοῖς ἀνατρεφόμενοι νέοι ἐν τῷ θέρει τὴν χλαῖναν[2] κατατρίβουσιν. — Θέογνις ὁ ποιητὴς ὑποθήκας, ὡς χρὴ ζῆν, ἐν μέτροις συνήγαγεν. — Τὰ σπουδαῖα μελέτα καὶ μὴ αἰσχύνου, ἐάν τι παρηκμακὼς[3] μανθάνῃς· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ. — Ζάμολξις λέγει, ὅτι, ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐδεὶς ἐπιχειρεῖ ἰᾶσθαι οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ δεῖ[4] σῶμα ἄνευ ψυχῆς.*

§. 97. 1) das Scheinen, der Schein, species. 2) Das menschliche Alter wird mit den Jahreszeiten verglichen; in der Jugendzeit soll man den Mantel, der im Alter nothwendig, nicht abnützen, d. h. durch Mäßigkeit den Körper schonen. 3) *παρακμάζω*. 4) man ergänze *ἰᾶσθαι*.

§. 98. *Ἐὰν ἔχωμεν χρήμαθ'[1], ἕξομεν φίλους. — Μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας[2] κώλυε. — Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας. — Οὐδεὶς ἐπλούτησεν[3] ταχέως δίκαιος ὤν. — Τιμᾶται τὸ γῆρας διὰ τὴν σωφροσύνην, ἀλλὰ θαυμάζω μᾶλλον σωφρονοῦσαν νεότητα. — Οὐκ ἔστι παισὶ κάλλιον γέρας, ἢ πατρὸς ἀγαθοῦ[4] πεφυκέναι. — Ἡρακλῆς Εὐρυσθεῖ τῷ Μυκηνῶν βασιλεῖ δώδεκα ἔτη ἐλάτρευσε, καὶ τοὺς ἐπιτεταγμένους δώδεκα ἄθλους ἐπετέλεσεν.*

— Ἕλλην ἀφ' ἑαυτοῦ τοὺς καλουμένους[5] Γραικοὺς προσηγόρευσεν Ἕλληνας.

§. 98. 1) χρήματα. 2) man ergänze ἁμαρτάνειν aus ἁμαρτάνοντας. 3) das ν ἐφελκυστικόν steht wegen der metrischen Form, in welche die Sentenz gekleidet ist. 4) von einem guten Vater. 5) die, welche (früher) Gräken hießen.

§. 99. Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον. — Καλῶς ἀκούειν[1] μᾶλλον ἢ πλουτεῖν θέλε. — Ἀρκοῦ τοῖς σεαυτοῦ[2] καὶ μὴ διάρπαζε τὰ τῶν πλησίον. — Ὁ ἥλιος πανταχῇ ἐπιβάλλων τὰς ἀκτῖνας ὥσπερ ὀφθαλμοῖς πολλοῖς βλέπει ἅπασαν γῆν καὶ θάλατταν. — Μεμνῆσθαι[3] δεῖ μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆς ἀρετῆς, ἧς[4] καταλελοίπασιν. — Ὀρφεὺς τέθαπται περὶ τὴν Πιερίαν, διασπασθεὶς ὑπὸ τῶν Μαινάδων. — Οὐρανὸς τοὺς Γίγαντας, οὓς ἐκ Γῆς ἐτέκνωσε, δήσας ἐς Τάρταρον ἔρριψεν. — Ἀρταξέρξης καλῶς τῆς πατρίδος βεβασίλευκε. — Τειρεσίαν τὸν μάντιν οἱ θεοὶ ἐτύφλωσαν, ὅτι τοῖς ἀνθρώποις, ἃ κρύπτειν ἤθελον, ἐμήνυεν.

§. 99. 1) wie das lat. bene audire; s. das Wörterverzeichniß. 2) mit dem deinigen. 3) memorem esse, von μιμνήσκω (μνάω). 4) Attraction statt ἥν.

§. 100. Ζεὺς ταύρῳ εἰκάσας ἑαυτὸν Εὐρώπην τὴν Ἀγήνορος λέγεται ἁρπάσαι. — Ὁ πεπαιδευμένος ἅπασι ζηλωτὸς καὶ ἐπίφθονός ἐστι, τιμώμενος καὶ ἐπαινούμενος καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων[1] ἀποβλεπόμενος. — Ἡγητέον[2], τὴν ἱστορίαν εἶναι φύλακα μὲν τῆς τῶν ἀξιολόγων ἀρετῆς, μάρτυρα δὲ τῆς τῶν φαύλων κακίας, εὐεργέτιν δὲ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων. — Οἱ τετελευτηκότες ἀπηλλαγμένοι[3] εἰσὶ νόσων καὶ λύπης καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον. — Νῖνος, χειρωσάμενος τοὺς ἐγχωρίους τῆς Βαβυλωνίας, τούτους[4] ἔταξε τελεῖν κατ' ἐνιαυτὸν ὡρισμένους φόρους.

§. 100. 1) προέχω. 2) scil. ἐστίν. 3) ἀπαλλάσσω. 4) τούτους gehört zu τελεῖν als Subject des Infinitivs.

§. 101. Παροιμία Ἑλληνικὴ λέγει· ὁ μὴ δαρεὶς[1] ἄνθρωπος οὐ παιδεύεται. — Πονηρὰ φύσις, μεγάλην ἐξουσίαν ἔχουσα, μεγάλας ἀπεργάζεται πονηρίας. — Τῷ δυστυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη. — Σωκράτης τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει καὶ τοὺς ἀμελοῦντας οὐκ ἐπῄνει. — Οἱ Ἀρειοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' ἐς τὰ

λεγόμενα ἀποβλέποιεν. — Γάϊος Ἰούλιος Καῖσαρ κατεπολέμησε τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη, καὶ προεβίβασε τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων. — Ἐπίχαρμος ἔλεγε· νῆφε καὶ μέμνησο[2] ἀπιστεῖν.

§. 101. 1) δέρω. 2) von μνάω, s. unter μιμνήσκω.

§. 102. Λακράτης ἀνὴρ Θηβαῖος, τῇ τοῦ σώματος ῥώμῃ διαφέρων, ἐμιμεῖτο τὸν Ἡρακλέα κατὰ τὰς στρατείας, καὶ λεοντῆν ἐφόρει καὶ ῥόπαλον ἐν ταῖς μάχαις. — Ἀλέξανδρος Κλεῖτον τῷ δορατίῳ μεταξὺ[1] δειπνοῦντα ἐφόνευσε, διότι τὰς Φιλίππου πράξεις πρὸς τὰς αὐτοῦ[2] ἐπαινέσαι ἐτόλμησεν[3]. — Ἡρακλῆς ἔλαβε[4] παρ' Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα, παρ' Ἡφαίστου θώρακα χρυσοῦν, παρ' Ἀθηνᾶς πέπλον, παρὰ δὲ Ποσειδῶνος ἵππους· ῥόπαλον δ' αὐτὸς ἔτεμεν ἐκ Νεμέας. — Μὴ δόκει[5] εὐτυχῶν ἀεὶ καλῶς πράξειν.

§. 102. 1) während des Mahles, s. Buttm. §. 150, 27. 2) im Vergleich mit den seinigen. 3) Der Aor. ist hier im Deutschen mit Plusquamperf. zu übersetzen. 4) Aor. von λαμβάνω. 5) heißt hier glauben, das latein. sibi videri.

§. 103. Λόγον παρ' ἐχθροῦ[1] μήποθ' ἡγήσῃ[2] φίλον. — Καλλίων τῆς μὲν τιμωρίας ἡ εὐεργεσία, τῆς δ' ὠμότητος ἡ πρὸς τοὺς ἐπταικότας ἐπιείκεια. — Τούτων ἕνεκα καὶ γεωργοῦμεν καὶ πλέομεν καὶ πάντα ἁπλῶς κατὰ τὸν βίον πράττομεν, ἵνα ἔχωμεν χρήματα, ἐξ ὧν ἐξέσται[3] ζῆν[4]. — Ἄλεξις ὁ τῶν κωμῳδιῶν ποιητής, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑωράκει μόλις βαδίζοντα καὶ ἠρώτησε 'τί ποιεῖς;' ἔφη[5]· 'κατὰ σχολὴν ἀποθνήσκω'. — Οἱ ἐν Ἅιδου δικασταὶ τοὺς πονηροὺς εἰς τὸν τῶν ἀσεβῶν χῶρον ἐξέπεμπον, κατὰ λόγον τῆς ἀδικίας κολασθησομένους.

§. 103. 1) die von einem Feinde kommt. 2) Conjunctiv für den Imperativ. 3) Futur von ἔξειμι (licebit). 4) das Leben erhalten. 5) inquit, von φημί.

§. 104. Φίλους μὴ ταχὺ κτῶ[1], οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε. — Διήγησαί μοι ἑταίρῳ ὄντι[2], ὄντινα τρόπον ὡρμήθης τὸ πρῶτον φιλοσοφεῖν, ὡς καὶ αὐτὸς[3] συνοδοιποροίην σοι, τὸ ἀπὸ τοῦδε[4] ἀρξάμενος. — Πάνυ καλῶς λέγει Εὐριπίδης, ὅτι ῥᾷον παραινέσαι ἑτέρους, ἢ αὐτὸν[5] ἐν συμφοραῖς καρτερῆσαι. — Τοῖς καλῶς ζῆν προαιρουμένοις ὁ Ἀθη-

νησι[6] βίος μάλιστα ἡρμοσμένος ἦν. — Φασὶν Ἀκταίωνα ὑπὸ τῶν ἰδίων κυνῶν διασπασθῆναι, Ἀρτέμιδος αὐτὸν μεταβαλούσης[7] εἰς ἔλαφον. — Ἐπιστήμῃ δεῖ κρίνεσθαι, ἀλλ' οὐ πλήθει[8], τὸ μέλλον[9] καλῶς κριθήσεσθαι.

§. 104. 1) κτάομαι. 2) als einem Freunde. 3) καὶ αὐτός, auch ich, et ipse. 4) τὸ ἀπὸ τοῦδε, von nun an. 5) selbst; αὐτόν ist nähere Bestimmung des im Infinitiv enthaltenen Subjects. 6) das Leben in Athen; s. über Ἀθήνησι Buttm. §. 116, 3; Englm. §. 207. 7) Gen. absol. s. §. 67, A. 1. 8) scil. τῶν κρινόντων. 9) über μέλλω mit Fut. Inf. s. §. 83, Anm. 4.

§. 105. Ἔλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς. — Ἐν μὲν τοῖς κατόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται. — Πυθαγόρας παρήγγελλε τοῖς μαθηταῖς, ἐν ταῖς εὐχαῖς ἁπλῶς εὔχεσθαι τἀγαθὰ καὶ μὴ κατὰ μέρος ὀνομάζειν αὐτά, οἷον[1] ἐξουσίαν, κάλλος, πλοῦτον, τἆλλα τὰ τούτοις ὅμοια. — Καυσιανοὶ τοὺς μὲν γεννωμένους ἐθρήνουν, τοὺς δὲ τελευτῶντας ἐμακάριζον. — Δαίδαλος ὁ τεχνίτης ἐξ Ἀθηνῶν πρὸς Μίνωα ἔφυγε κἀκεῖ[2] ἐτεχνήσατο ξυλίνην βοῦν καὶ τὸν Λαβύρινθον κατεσκεύασεν, εἰς ὃν κατ' ἔτος Ἀθηναῖοι κόρους ἑπτὰ καὶ κόρας τὰς ἴσας[3] τῷ Μινωταύρῳ βορὰν ἔπεμπον.

§. 105. 1) das latein. velut, wie, zum Beispiel. 2) καὶ ἐκεῖ. 3) die gleichen, gleich viele.

§. 106. Στησίχορος ὁ ποιητὴς ἐν Κατάνῃ ἐτάφη[1] πολυτελῶς πρὸς ταῖς ἀπ' αὐτοῦ[2] Στησιχορείαις πύλαις λεγομέναις. — Μεμφομένου τινὸς Παυσανίαν τὸν Λακεδαιμόνιον, διότι ἰατρόν[3] τινα κακῶς λέγει, πεῖραν οὐκ ἔχων αὐτοῦ οὐδὲ ἀδικηθείς τι[4] ὑπ' αὐτοῦ, 'εἰ ἐπειράθην'[5] ἔφη 'αὐτοῦ, οὐκ ἂν ἔζων[6]. — Ἄμασις ὁ τῶν Αἰγυπτίων βασιλεὺς φίλῳ ἀποβαλόντι υἱὸν γράφων παραμυθητικὸν εἶπεν· 'εἰ, ὅτε οὐδέπω ἦν[7], οὐκ ἐλυποῦ, μηδὲ νῦν λυπηθῇς, ὅτε οὐκέτι ἔστιν'[8]. — Σοφοκλῆς ὁ τραγῳδοποιὸς μετὰ τὴν ἐν Σαλαμῖνι μάχην, ἔτι παῖς ὤν, περὶ τὸ τρόπαιον γυμνὸς ἀληλιμμένος[9] ἐχόρευσεν.

§. 106. 1) θάπτω. 2) nach ihm, nach seinem Namen. 3) über den Accusativ s. unter λέγω. 4) in irgend etwas. 5) Passiv des Aor. mit medialer Bedeutung. 6) würde ich nicht am Leben sein. Εἰ mit Indic. eines Präteriti im Bedingungssatze, und ἄν mit Indic. Präteriti im Folgesatze, wird bei unerfüllten Bedingungen angewendet, entsprechend dem conditionellen Imperf. und Plusquamperf. im Latein. 'si ejus periculum fecissem, non essem vivus'. 7) scil. ὁ υἱός. 8) ist, d. i. existiert, lebt. Ueber den Accent s. Buttm. §. 108, IV, 3; Englm. §. 198 A. 1. 9) ἀλείφω.

§. 107. *Πειρατέον ὡς ῥᾷστα τὰ τοῦ βίου ἀναγκαῖα φέρειν. — Σπευσίππῳ παραλυθέντι τὰ σκέλη*[1] *Διογένης ἐξαγαγεῖν αὐτὸν παρῄνει τοῦ βίου· ὁ δέ*[2] *'οὐ τοῖς σκέλεσιν' ἔφη 'ζῶμεν, ἀλλὰ τῷ νῷ'. — Οἱ τῶν παλαιῶν Ἑλλήνων νόμοι τῆς τῶν θεῶν θεραπείας προὐνοήσαντο*[3]*· ἱερὰ γὰρ καὶ βωμοὺς ἐδημιούργησαν*[4]*, ἀναθήμασιν ἐκόσμησαν, θυσίαις, πανηγύρεσι, προσόδοις ἐτίμησαν. — Ἄλλος ἄλλο*[5] *τι τῶν θεῶν ἐπετήδευσεν*[6]*· Ἥρα μὲν τῶν γάμων ἐπεστάτει, Ἄρης δὲ μετ' Ἀθηνᾶς πολέμου, Ἥφαιστος δὲ πυρός, Ποσειδῶν δὲ ἡγεῖτο τοῖς πλέουσιν, ἄλλος*[7] *ἄλλο τι τῶν θεῶν ἐπῃσκήσατο, σοφίας δὲ πάντες μετεῖχον.*

§. 107. 1) Accus. des Bezugs, s. Buttm. §. 131, 7. 2) s. §. 93, Anm. 4. 3) *προνοέω.* 4) Man ergänze *αὐτοῖς*, und zu den folgenden Verba *αὐτούς.* 5) s. §. 53, Anm. 2. Der Genetiv *τῶν θεῶν* hängt von *ἄλλος* ab. 6) Ueber das Augment s. Buttm. §. 86, Anm. 3. 7) Durch *ἄλλος ἄλλο* werden hier die einzelnen Glieder mit einem allgemeinen abgeschlossen, wo der Deutsche das letzte allgemeine Glied mit 'kurz' einzuleiten pflegt.

§. 108. *Τοῖς ζῳγραφεῖν βουλομένοις οὐδὲν ὄφελος*[1] *κατανοεῖν Ἀπελλοῦ καὶ Πρωτογένους καὶ Ἀντιφίλου ἔργα, ἐὰν μὴ καὶ αὐτοὶ γράφειν ἐπιχειρῶσι. — Προμηθεὺς τὸ πῦρ, κλέψας παρὰ θεῶν ἐν νάρθηκι, ἐκόμισεν εἰς ἀνθρώπους. — Κατὰ τὸν ἐπὶ Μεσσηνίους πόλεμον ἡ Πυθία ἔχρησε τοῖς Σπαρτιάταις, παρ' Ἀθηναίων αἰτῆσαι στρατηγόν. — Ἀμάλθεια ἡ Αἱμονίου θυγάτηρ κέρας εἶχε ταύρου· τοῦτο δὲ δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν ἢ ποτὸν, ὅπερ εὔξαιτό τις, παρέχειν ἄφθονον. — Γῆ τε καὶ Οὐρανὸς Κρόνῳ ἐθεσπιῴδησαν λέγοντες, ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν*[2] *αὐτὸν ἀφαιρεθήσεσθαι.*

§. 108. 1) *οὐδὲν ὄφ.*, nützt es nichts. 2) Man sagt: *ἀφαιρεῖταί τις ἀρχήν*, einer wird einer Herrschaft beraubt, verliert eine Herrschaft; s. Buttm. §. 134, 7.

§. 109. *Ἔργον*[1] *συναγαγεῖν σωρὸν*[2] *ἐν πολλῷ χρόνῳ, ἐν ἡμέρᾳ*[3] *δὲ διαφορῆσαι ῥᾴδιον. — Οἱ νομοθέται οὐ προστάττουσι τοῖς δικασταῖς, τοῦ ἑτέρου*[4] *μὲν ἀκούειν, τὸν δὲ ἕτερον οὐκ ἐᾶν λέγειν ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι, ὡς ῥᾷον ἀντεξετάζοντες τοὺς λόγους εὑρίσκοιεν τἀληθῆ τε καὶ ψευδῆ. — Ἀρταξέρξης ὁ Ὦχος τοῖς ὑποτεταγμένοις ὠμῶς καὶ βιαίως προσεφέρετο. — Ἐν τῇ ἐπὶ Σαλαμῖνι ναυμαχίᾳ διεφθάρησαν νῆες τῶν μὲν Ἑλλήνων τεσσαράκοντα, τῶν δὲ Περσῶν*

fect mit verstärkter Präsens-Bedeutung. 4) *οἱ πρὸ αὐτοῦ*, die vor ihm gelebt haben.

§. 115. *Κρεῖττόν ἐστιν εὖ τεθραμμένην*[1] *γυναῖκα λαμβάνειν ἄπροικον ἢ κακὴν μετὰ χρημάτων. — Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι*[2]. — *Τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμεληθέντα δ' ἰσχὺν μείζω λαμβάνει. — Ὁ ἐν τῇ Κρήτῃ λαβύρινθος, τέχνημα Δαιδάλου, ἦν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. — Ἑρμῆς ῥάβδῳ θαυμασίᾳ τὴν δύναμιν*[3] *ἐψυχαγώγει καὶ κατῆγε τοὺς νεκρούς. — Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ὁ ἐν Δελφοῖς θεὸς ἔχρησε, δυνατωτάτους εἶναι τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. — Ὀρέστης μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας διωκόμενος ὑπὸ τῶν Ἐριννύων ἔφυγε πρὸς Ἀθήνας, καὶ ἐκρίθη ἐν Ἀρείῳ πάγῳ· ἴσων δὲ γενομένων τῶν ψήφων*[4] *ἀπελύθη.*

§. 115. 1) *τρέφω*. 2) Man construiere: *ἀναγκαιότερον (ἐστιν) ἰᾶσθαι ψυχὴν σώματος* (= *ἢ σῶμα*). 3) *θαυμάσιος τὴν δύναμιν*, wunderbar an Kraft, d. i. von wunderbarer Kraft. 4) da die Stimmen gleich waren, bei Stimmengleichheit.

§. 116. *Τῶν ἐστρατευμένων*[1] *μετὰ Κύρου καὶ διασωθέντων εἰς τὴν Ἑλλάδα Ἑλλήνων τινὲς μὲν εἰς τὰς ἰδίας πατρίδας ἀπηλλάγησαν*[2], *οἱ δὲ πλεῖστοι, στρατιωτικὸν εἰθισμένοι*[3] *ζῆν βίον καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, στρατηγὸν αὐτῶν εἵλοντο*[4] *Ξενοφῶντα, καὶ ἐπολέμουν Θρᾳξὶ τοῖς περὶ τὸν Σαλμυδησσὸν οἰκοῦσιν. — Ἡμεῖς*[5] *χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὐτῶν*[6] *ἕτερα προσπορίζομεν· λυπούμεθα, ἂν*[7] *πτάρῃ*[8] *τις· ἂν εἴπῃ κακῶς, ὀργιζόμεθα· ἂν ἴδῃ*[9] *τις ἐνύπνιον, σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν*[10]. — *Ἀλέξανδρος διαδήματι τὴν κεφαλὴν διεδέδετο καὶ προσκυνεῖσθαι ἠξίου.*

§. 116. 1) Das adjectivisch stehende Particip hängt von *τινές* ab. 2) *ἀπαλλάσσω*. 3) *ἐθίζω*. 4) erwählten, von *αἱρέω*. 5) Das Pronomen ist mit Nachdruck gesetzt: wir im Gegensatz zu der Nothwendigkeit, welche über die Menschen Uebel verhängt. 6) statt *ἡμῶν αὐτῶν*; s. Buttm. §. 127, Anm. 5. 7) = *ἐάν*. 8) *πταίρω*. Das Niesen wurde gewöhnlich für ein schlimmes, selten für ein gutes Vorzeichen (omen) gehalten. 9) Aor. 2. von *ὁράω*. 10) Perf. von *δεῖσαι*.

§. 117. *Οἱ ἐν φιλοσοφίᾳ προκόψαντες ἀντὶ μὲν δούλων ἐλεύθεροι, ἀντὶ δὲ πενήτων ὡς ἀληθῶς*[1] *πλούσιοι, ἀντὶ δὲ ἀνοήτων τε καὶ τετυφωμένων γίγνονται μετριώτεροι. — Φιλόσοφός τις Ἀθηναῖος λέγει· οἱ πολλοὶ*[2] *ἄνθρωποι κατὰ τὰς*

ἀτυχίας μᾶλλον εἰώθασι[3] τοῦ δαιμονίου μνημονεύειν· καὶ πολλάκις ἐν ταῖς εὐπραξίαις ὡς μύθων πεπλασμένων[4] τῶν θεῶν καταφρονοῦντες, κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν. — Ἐπεὶ Ἀλέξανδρος Δαρεῖον ἐπ' Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν[5] ἑαυτόν. — Πάλαι μὲν καὶ ἄνθρωποι συνειστιῶντο καὶ συνέπινον τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, οἷον[6] Ἰξίων καὶ Τάνταλος· ἐπεὶ δὲ ἦσαν οὗτοι ὑβρισταί, τὸ ἀπὸ τούτου[7] ἄβατος ἦν τῷ θνητῷ γένει καὶ ἀπόρρητος ὁ οὐρανός.

§. 117. 1) ὡς ἀλ. in Wahrheit, so daß sie den Namen reich in Wahrheit verdienen; s. über ὡς Buttm. §. 149, 1, 2. 2) οἱ πολλοί, das latein. plerique. 3) ἔθω. 4) ist Prädicat zu θεῶν, welcher Gen. von καταφρονοῦντες regiert ist. 5) μεταδιαιτάω, s. Buttm. §. 86, A. 4; Englm. §. 106, A. 1. 6) s. §. 105, Anm. 1. 7) τὸ ἀπὸ τούτου, von dieser Zeit an, seitdem.

§. 118. Ἐπειδή ποτε Ἥρα καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ τὸν Δία συνδῆσαι ἤθελον, Θέτις ἠκούσα ὑπέλυσεν αὐτὸν τοῦ δεσμοῦ, καλέσασα τὸν ἑκατόγχειρον Βριάρεων εἰς Ὄλυμπον. — Ἡρακλῆς πολλὰ πεπόνηκεν, ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. — Ἐὰν ἐθέλῃς σεαυτοῦ[1] γίγνεσθαι, καταγέλασον τῶν δημοσίᾳ νομιζομένων[2] ἀγαθῶν, πλούτου καὶ δόξης καὶ βασιλείας καὶ τῶν τοῖς πολλοῖς[3] περιβλέπτων. — Αἱ Ἀμαζόνες κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμὸν, ἔθνος μέγα τὰ[4] κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν· καὶ εἴ ποτε γεννήσειαν, μόνον τὰ θήλεα[5] ἔτρεφον.

§. 118. 1) deiner selbst werden, d. h. unabhängig und frei. 2) die Güter, welche die große Menge preist, ea quae vulgo habentur bona. 3) s. §. 66, Anm. 3. 4) in Sachen des Kriegs, d. h. im Kriege. 5) die weiblichen Geburten.

§. 119. Πᾶσι τοῖς μέλλουσι τελευτᾶν ἐμπίπτει μεταμέλεια, μεμνημένοις ὡς ἐν τῷ βίῳ ἠδικήκασι, καὶ ὁρμὴ[1] τοῦ βούλεσθαι, πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς[2]. — Ὁ Ἀθηναίων δῆμος τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα ἔχαιρε, τοῖς δὲ σκώπτουσιν ἥκιστα ἐδυσχέραινεν. — Ἐν τῇ Κύπρῳ νήσῳ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε[3] τεταγμένα μικρὰ πολίσματα. — Τὸν Πύλιον Νέστορα διὰ γνώμην καὶ γῆρας τῶν συμπάντων ἡρώων[4] προὐτίμα Ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός. — Λέγουσι τινες, ὅτι κοσμήσας ἑαυτὸν

Κροῖσος ὁ Λυδὸς παντοδαπῶς καὶ καθίσας ἐπὶ τὸν θρόνον, ἠρώτησε τὸν Σόλωνα, εἴ[5] τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ[6] 'ἀλεκτρυόνας' εἶπε 'καὶ φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ[7] καλλίονι.'

§. 119. 1) ὁρμὴ τοῦ βούλ. der Wunsch; man ergänze ἐμπίπτει 2) statt ὑπ' αὐτῶν; s. Buttm. §. 134, 4. 3) befanden sich (ὑπὸ ταύτας hängt von τεταγμένα ab). 4) Der Gen. hängt von προὐτίμα ab, welchem Verbum ein Comparativbegriff (höher schätzen) zu Grunde liegt. 5) ob. 6) s. §. 93, Anm. 4. 7) Die Dative μυρίῳ und καλλίονι sind verschieden; letzterer ist Dat. instrument. und gehört zu ἄνθει, μυρίῳ Dativ des Maßes: unzählige Male, tausendmal schöner.

§. 120. Σύλλας, ὁ εὐτυχὴς[1] ἀναγορευθείς, τῶν μεγίστων εὐτυχιῶν[2] ἐποιεῖτο δύο, τὴν Μετέλλου τοῦ Πίου φιλίαν καὶ τὸ μὴ κατασκάψαι Ἀθήνας, ἀλλὰ φείσασθαι[3] τῆς πόλεως. — Φίλιππος ὁ Μακεδόνων βασιλεὺς, πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων[4] αὐτῷ, 'ὦ Τύχη', εἶπε 'μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.' — Ξενοκράτει χρημάτων κομισθέντων[4] ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, 'ἀπαγγείλατε' ἔφη[5] 'Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων'· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

§. 120. 1) Der Artikel gehört zum Particip, εὐτυχής ist Prädicat: Sulla, qui felix cognominatus est. 2) rechnete unter seine größten Glücksfälle rc. 3) φείδομαι. 4) s. §. 67, Anm 1. 5) φημί.

§. 121. Ἄρτεμις λέγεται εὑρεῖν[1] τὴν τῶν νηπίων παίδων θεραπείαν καὶ τροφάς τινας ἁρμαζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας κουροτρόφος ὠνομάζετο. — Σωκράτης παρῄνει φυλάττεσθαι ἐκεῖνα[2] τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων[3], ὅσα πίνειν[4] μὴ διψῶντας. — Σίδην τὴν Ὠρίωνος γυναῖκα ἡ Ἥρα ἔρριψεν ἐς Ἅιδου, περὶ μορφῆς ἐρίσασαν[5]. — Ἑρμῆς, ἔτι βρέφος ὤν, Ἄρεος ἐξείλκυσε λαθὼν[6] ἐκ τοῦ κολεοῦ τὸ ξίφος. — Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐπιφανεστάτας πράξεις τῶν πρὸ αὐτοῦ[7] κατειργασμένος, ἔκτισε πόλιν μεγάλην καὶ εὖ τετειχισμένην καὶ ἐκάλεσεν ἀφ' ἑαυτοῦ Νῖνον.

§. 121. 1) Inf. Aor. 2 von εὑρίσκω. 2) vor jenen Speisen. 3) man ergänze ἐκεῖνα. 4) scil. ἀναπείθει. 5) nemlich mit ihr. 6) heimlich, von λανθάνω. 7) s. §. 114, 4. Der Gen. τῶν hängt von ἐπιφανεστάτας ab.

§. 122. Τοὺς Ἡρακλέους παῖδας, ἀπεστερημένους ὑπὸ τῶν

Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον Ἀθηναῖοι, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειραθέντας τοῖς Ἡρακλέους ἐκγόνοις. — Κρέων μετὰ τὸν θάνατον τῶν Οἰδίποδος παίδων, Ἐτεοκλέους καὶ Πολυνείκους, τὴν Θηβαίων βασιλείαν παραλαβών[1], τῶν Ἀργείων[2] τῶν μετὰ Πολυνείκους ἐπὶ Θήβας στρατευσαμένων τοὺς νεκροὺς ἔρριψεν ἀτάφους, καὶ ἐκήρυξε μηδένα θάψαι. Ἀντιγόνη δὲ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε· καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτὴ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη[3].

§. 122. 1) Aor. 2 von παραλαμβάνω. 2) Der Gen. hängt von νεκρούς ab. 3) ἐγκρύπτω.

§. 123. Ἅιδης κατηγορίαν Ἀσκληπιοῦ ἐποιήσατο πρὸς Δία, ὡς τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης[1]· ἐλάττους γὰρ ἀεὶ γίγνεσθαι[2] τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ· ὁ δὲ Ζεὺς παροξυνθεὶς ἐκεραύνωσε τὸν Ἀσκληπιὸν καὶ διέφθειρεν. — Εὐθύδημός τις γράμματα πολλὰ συνειλεγμένος[3] ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, ἐκ τούτων ἤδη ἐνόμιζε διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ. — Τυφῶν μετὰ συριγμῶν καὶ βοῆς πέτρας ἡμμένας[4] ἐπὶ τὸν οὐρανὸν ἔβαλλε· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. — Ὡς Ξέρξῃ[5] πάντα ἡτοίμαστο πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, κήρυκας ἐξέπεμψεν εἰς πάσας τὰς τῆς Ἑλλάδος πόλεις, προστάξας παρὰ τῶν Ἑλλήνων αἰτεῖν ὕδωρ καὶ γῆν[6].

§. 123. 1) ὡς — ταπεινουμένης, weil (daß) seine Herrschaft beeinträchtigt werde. 2) Der Accus. c. Inf. enthält den Beschwerdegrund des Hades indirect angeführt: es würden nemlich ꝛc. 3) συλλέγω. 4) ἅπτω. 5) statt ὑπὸ Ξέρξου; s. Buttm §. 131, 4. 6) Wasser und Erde waren als die Elemente eines Landes das Zeichen der Unterwerfung.

§. 124. Λακωνικὴ γυνὴ ἀκούσασα τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὴ φήμη σου κατακέχυται[1]· σὺ οὖν ἢ ταύτην ἀπότριψαι ἢ μηδ' ἡμῖν φανῇς. — Οἱ ποιηταί φασι[2] τὰς Δαναΐδας ἐν Ἅιδου[3] κολάζεσθαι διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ· ὅθεν καὶ παροιμίαν[4] ἐπὶ τῶν ἀνήνυτα μοχθούντων 'εἰς τετρυπημένον πίθον ἀντλεῖν' λέγομεν. — Σαλμωνεὺς ἐν Ἤλιδι πόλιν ἔκτισεν· ὑβριστὴς δὲ ὢν

καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη. Ἔλεγε γὰρ εἶναι Ζεύς[5] καὶ ἑαυτῷ προσέτασσε θύειν· καὶ βύρσας μὲν ἐξηραμμένας[6] ἐξ[7] ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

§. 124. 1) καταχέω. 2) φημί, mit folgendem Accus. c. Inf. 3) s. §. 9, 7. 4) als Sprüchwort, sprüchwörtlich. 5) über den Nominat. c. Inf. s. Buttm. §. 141, 3. 6) ξηραίνω. 7) an einem Wagen (aufgehängt, befestigt).

§. 125. Οὐδεὶς ἄνθρωπος ὢν ἀλύπως τὸν βίον διήγαγεν, οὐδὲ πάλιν[1] μέχρι τοῦ τέλους εὐτυχῶν ἔμεινεν. — Ζάλευκος ὁ νομοθέτης τάδε ἔγραψεν ἐν τοῖς νόμοις· ὧδε ἡμῖν[2] παρηγγέλθω πᾶσι τοῖς πολίταις καὶ πάσαις ταῖς πολίτισι, μεμνῆσθαι, ὅτι εἰσὶ θεοὶ καὶ δίκας ἐπιπέμπουσι τοῖς ἀδίκοις. — Περσεὺς ἐκαρατόμησε τὴν Γοργόνα Μέδουσαν, ἀπεστραμμένος[3] καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν. — Οἱ Ὀδυσσέως ἑταῖροι παρέπλευσαν παρὰ τὰς Σειρῆνας, δεδεμένοι τὰς χεῖρας[4] καὶ τὰ ὦτα κηρῷ φραξάμενοι. — Οἱ Καρχηδόνιοι τὴν ἐπὶ Ἱμέρᾳ ναυμαχίαν[5] παρ' ἐλπίδας ἡττηθέντες ὑπὸ Συρακουσίων, ἐπὶ τοσοῦτο κατεπλάγησαν[6], ὥστε τὰς νύκτας ἅπαντες διηγρύπνουν φυλάττοντες τὴν πόλιν, ἡγούμενοι τὸν Γέλωνα πάσῃ τῇ δυνάμει παραχρῆμα πλεύσεσθαι ἐπὶ τὴν Καρχηδόνα.

§. 125. 1) man ergänze οὐδείς: und keiner hinwiederum. 2) für ὑφ' ἡμῶν. 3) ἀποστρέφω. 4) an den Händen. 5) in der Seeschlacht. 6) καταπλήττω.

§. 126. Ἰκάριος ἔλαβε[1] παρὰ Διονύσου κλῆμα ἀμπέλου· καὶ τὰ[2] περὶ οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ χάριτας δωρήσασθαι θέλων ἀνθρώποις ἀφικνεῖται[3] πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν· μεθ' ἡμέραν[4] δὲ νοήσαντες[5] ἔθαψαν αὐτὸν καὶ μεγάλως κατωδύραντο. — Δαρεῖος τῆς Ἀσίας σχεδὸν ὅλης κυριεύσας τὴν Εὐρώπην ἐπεθύμει καταστρέψασθαι. Τῷ γὰρ μεγέθει τῆς Περσικῆς δυνάμεως πεποιθὼς περιελάμβανε ταῖς ἐλπίσι πᾶσαν τὴν οἰκουμένην, αἰσχρὸν εἶναι νομίζων, τοὺς μὲν πρὸ αὐτοῦ βεβασιλευκότας, καταδεεστέρας ἀφορμὰς κτησαμένους[6],

τὰ μέγιστα τῶν ἐθνῶν καταπεπολεμηκέναι, αὐτὸν[7] *δὲ τηλικαύτας ἔχοντα δυνάμεις, ἡλίκας οὐδεὶς τῶν πρὸ αὐτοῦ*[8] *εἶχε, μηδεμίαν ἀξιόλογον πρᾶξιν κατειργάσθαι.*

§. 126. 1) Aorist von *λαμβάνω*. 2) was gehört zur Weinbereitung. 3) **Praesens historicum.** 4) Tags darauf. 5) neml. daß sie nicht vergiftet waren. 6) man löse das Partic. mit obwohl auf. 7) er selbst. 8) s. §. 114, 4.

§. 127. *Ἐπεὶ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες τῆς Ἑλλάδος παρεγένοντο*[1], *Τυνδάρεως, ὁρῶν αὐτῶν τὸ πλῆθος, ἐδεδοίκει*[2], *μὴ προκριθέντος*[3] *ἑνὸς*[3] *στασιάσωσιν οἱ ἄλλοι. Ἐξώρκισεν οὖν πάντας τοὺς μνηστῆρας βοηθήσειν*[4], *ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπ' ἄλλου τινὸς ἀδικηθῇ περὶ τὸν γάμον. Ταῦτα δὲ ποιήσας Μενέλεων αἱρεῖται νυμφίον. — Τίμων ὁ Ἀθηναῖος πολλοὺς Ἀθηναίων εἰς ὕψος ἄρας*[5] *καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας καὶ πᾶσι τοῖς δεομένοις*[6] *ἐπικουρήσας, μᾶλλον*[7] *δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐκχέας*[8] *τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγένετο, οὐκέτι ἐγνωρίζετο ὑπὸ τῶν πρότερον*[9] *φίλων. — Μήδεια, μέλλουσα φυγαδεύεσθαι ὑπὸ Κρέοντος τοῦ Κορινθίων βασιλέως ἐκ Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι*[10] *καὶ τυχοῦσα*[11], *μισθὸν τῆς χάριτος δῶρα ἔπεμψε τῇ Γλαύκῃ πέπλον μεμαγευμένον φαρμάκῳ καὶ χρυσοῦν στέφανον· οἷς ἐκείνη χρησαμένη*[12] *πυρὶ κατεφλέγη, καὶ ὁ Κρέων δὲ*[13] *περιπλακεὶς*[14] *διεφθάρη.*

§. 127. 1) sich eingefunden hatten, von *παραγίγνομαι*. 2) von *δεῖσαι*. Nach den Verba des Fürchtens steht im Transitivsatze *μή*, wie im Lat. **ne**. 3) wenn einer den Vorzug erhielte. 4) daß sie bereit seien zu helfen. 5) *αἴρω*. 6) allen Bedürftigen. 7) *μᾶλλον δέ*, oder vielmehr, **vel potius**. Das folgende *ἀθρόον* ist Prädicat. 8) s. Buttm. §. 96, A. 1; Englm. §. 171. 9) über das Adverb s. §. 76, A. 3. 10) bleiben zu dürfen. 11) von *τυγχάνω*, und als sie es erlangt hatte, nemlich zu bleiben. 12) gebrauchen ist hier so viel als anlegen. 13) *καὶ — δέ*, und — auch. 14) scil. *τῇ Γλαύκῃ*, seiner Tochter.

§. 128. *Ζώπυρος ὁ Μεγαβύζου, ἀνὴρ Πέρσης, ἀποτεμὼν ἑαυτῷ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἑαυτὸν ηὐτομόλησε*[1] *πρὸς Βαβυλωνίους ὑπὸ Δαρείου πολιορκουμένους. Οἱ δὲ Βαβυλώνιοι, ὁρῶντες ἄνδρα τῶν Περσῶν δοκιμώτατον*[2] *ῥινός τε καὶ ὤτων ἐστερημένον καὶ μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, ἐλπίσαντες σφίσιν ἥκειν*[3] *σύμμαχον ἐπετράποντο αὐτῷ τὴν στρατιάν. — Ἀλεξάνδρου*

τοῦ Μακεδόνος ἑκατὸν τάλαντα χρυσίου Φωκίωνι τῷ Ἀθηναίῳ πεπομφότος[4], *ἠρώτησεν οὗτος τοὺς κομίσαντας*[5], *τί δήποτε, πολλῶν Ἀθηναίων ὄντων*[6], *αὐτῷ μόνῳ Ἀλέξανδρος πέπομφεν. Εἰπόντων*[7] *δέ, ὅτι*[8] *ἡγεῖταί σε καλὸν καὶ ἀγαθόν, ‘οὐκοῦν’ ἔφη ‘ἐασάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτον’. Καὶ ταῦτα τοῖς κομίσασιν εἰπὼν ἀπεπέμψατο μὲν τὰ χρήματα, Ἀλεξάνδρῳ δὲ ἔγραψεν, εἰ βούλοιτο αὐτῷ χαρίσασθαι, ἀπολῦσαι*[9] *τοὺς ἐν Σάρδεσιν αἰχμαλώτους, ὅπερ ἐκεῖνος πεποίηκεν.*

§. 128. 1) *αὐτομολέω*. 2) einen der angesehensten Perser. 3) *ἥκω* hat im Präsens die Bedeutung eines Präteriti. 4) *πέμπω* (Gen. absol.). 5) die Ueberbringer. 6) da doch der Athener viele seien. 7) als nun diese sagten. 8) weil. 9) so solle er frei lassen.

XIX.

II. Verba auf *μι*.

§. 129. *Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. — Ἀλκυὼν, θαλαττία τις ὄρνις, γοώδη τὸν ἦχον ἀφίησιν. — Ὡς ἐπίπαν τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίρροια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησιν. — Ἀπόλλωνι ἀνατιθέασι*[1] *τὴν εὕρεσιν τῆς δάφνης καὶ καθιεροῦσιν αὐτὴν τούτῳ τῷ θεῷ. — Οἱ συγγραφεῖς ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστὰς καὶ λόγους. — Πυθαγόρας παρήγγελλε τοῖς μανθάνουσι σπανίως ὀμνύναι. — Τῶν ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει*[2]*· ἀβεβαιότατον γὰρ ὧν*[3] *κεκτήμεθα. — Τοὺς χαλεποὺς κύνας τὰς μὲν ἡμέρας*[4] *διδέασι*[5]*, τὰς δὲ νύκτας ἀφιᾶσιν.*

§. 129. 1) schreibt man zu. 2) s. über die Imperativform Buttm. §. 107, im Paradigma Anm. I, 5; Englm. §. 189, 1, Anm. 3) von dem was, Attraction statt *τούτων ἅ*. 4) den Tag über, während der Tageszeiten. 5) bindet man.

§. 130. *Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα. — Ἀφεὶς*[1] *τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. — Μὴ ἐπὶ μικροῖς σαυτὸν ὀξύθυμον δείκνυ. — Πολλοὶ μᾶλλον πρόθυμοί εἰσι διδόναι πλουσίῳ κακῷ*[2] *ἢ πένητι κἀγαθῷ*[3]*. — Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων. — Σὺν τῷ νόμῳ δεῖ*[4] *τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. — Ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω Ἄρεος ἄγαλμα χρυσοῦν. — Οἱ τῶν μειζόνων ὀρεγόμενοι πολλάκις καὶ ἑαυτοὺς πρὸς αὐτοῖς τοῖς ὑπάρχουσιν*[5] *ἀπολλύασιν.*

§. 130. 1) *ἀφίημι*. 2) der schlecht ist. 3) *καὶ ἀγαθῷ*. 4) s. §. 32, Anm. 4. 5) nebst ihren gegenwärtigen Glücksgütern.

§. 131. *Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς*[1] *ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. — Τὴν σιγήν σου συγχώρησιν θήσω*[2]. *— Ὁ λόγος, φησὶ Σωκράτης, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. — Κάτων γέροντι πονηρευομένῳ ἔφη· 'τί*[3]*, ἄνθρωπε, τῷ γήρᾳ πολλὰ κακὰ ἔχοντι τὴν ἐκ τῆς πονηρίας*[4] *αἰσχύνην προστίθης;' — Οἱ θεοὶ Τιθωνὸν πολυετῆ καὶ μακρόβιον ἔθεσαν. — Προμηθεὺς Δία παρελογίσατο, ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ παραθεὶς αὐτῷ κεκαλυμμένα τῇ πιμελῇ*[5]. *— Ζεὺς Σαρπηδόνι τῷ Λυκίων βασιλεῖ ἔδωκεν ἐπὶ τρεῖς γενεὰς ζῆν.*

§. 131. 1) das ihr gegen uns hegt. 2) werde ich setzen, d. i. annehmen, halten für 2c. 3) warum? wie im Lat. quid? 4) die kommt (hervorgeht) aus der 2c. 5) Das Fleisch, das man den Göttern zum Opfer darbrachte, wurde gewöhnlich mit Fett umwickelt und so verbrannt. Daher heißt es hier *τῇ πιμελῇ*: mit dem zu solchem Opfer gehörigen Fett.

§. 132. *Τὸν*[1] *τὴν ἰδίαν οἰκίαν καλῶς οἰκοῦντα καὶ*[2] *τὰ κοινὰ*[3] *τῆς πόλεως παραπλησίως διαθήσειν ἡγοῦμαι. — Σιδὼν ἀποστᾶσα*[4] *Ἀρταξέρξου τοῦ Ὤχου*[5] *καλουμένου, διὰ προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. — Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. — Τειρεσίας ὁ μάντις τοῖς Θηβαίοις μαντευομένοις εἶπε νικήσειν*[6]*, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδιδῷ. Τοῦτο ἀκούσας ὁ Μενοικεὺς ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξεν. — Μίνως τοῖς Κρησὶ νόμους ἔθηκε, προσποιούμενος παρὰ Διὸς τοῦ πατρὸς λαμβάνειν.*

§. 132. 1) *τόν* gehört zu *οἰκοῦντα*: der, welcher verwaltet. 2) auch. 3) die öffentlichen Angelegenheiten. 4) *ἀφίστημι*. 5) s. §. 120, Anm. 1. 6) sie würden siegen.

§. 133. *Δίκην διδόντων*[1] *οἱ τοὺς νόμους παραβαίνοντες. — Μαρδόνιος ὁ Περσῶν στρατηγὸς, ἐν τῇ Βοιωτίᾳ διατρίβων μετὰ τῶν δυνάμεων, τῶν ἐν τῇ Πελοποννήσῳ πόλεών τινας ἐπειρᾶτο ἀφιστάναι τῆς τῶν Ἑλλήνων συμμαχίας. — Ὀρφεὺς ἐτελεύτησε διασπασθεὶς ὑπὸ Θρᾳκίων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων. — Εἰώθαμεν*[2] *λέγειν ἐπὶ*[3] *τῶν ταχέως τρεχόντων, ὅτι ἵπτανται. — Ἐν Δωδώνῃ, πόλει*

fect mit verstärkter Präsens-Bedeutung. 4) *οἱ πρὸ αὐτοῦ*, die vor ihm gelebt haben.

§. 115. *Κρεῖττόν ἐστιν εὖ τεθραμμένην*[1] *γυναῖκα λαμβάνειν ἄπροικον ἢ κακὴν μετὰ χρημάτων. — Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι*[2]. *— Τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμεληθέντα δ' ἰσχὺν μείζω λαμβάνει. — Ὁ ἐν τῇ Κρήτῃ λαβύρινθος, τέχνημα Δαιδάλου, ἦν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. — Ἑρμῆς ῥάβδῳ θαυμασίᾳ τὴν δύναμιν*[3] *ἐψυχαγώγει καὶ κατῆγε τοὺς νεκρούς. — Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ὁ ἐν Δελφοῖς θεὸς ἔχρησε, δυνατωτάτους εἶναι τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. — Ὀρέστης μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας διωκόμενος ὑπὸ τῶν Ἐριννύων ἔφυγε πρὸς Ἀθήνας, καὶ ἐκρίθη ἐν Ἀρείῳ πάγῳ· ἴσων δὲ γενομένων τῶν ψήφων*[4] *ἀπελύθη.*

§. 115. 1) *τρέφω.* 2) Man construiere: *ἀναγκαιότερον (ἐστιν) ἰᾶσθαι ψυχὴν σώματος (= ἢ σῶμα).* 3) *θαυμάσιος τὴν δύναμιν*, wunderbar an Kraft, d. i. von wunderbarer Kraft. 4) da die Stimmen gleich waren, bei Stimmengleichheit.

§. 116. *Τῶν ἐστρατευμένων*[1] *μετὰ Κύρου καὶ διασωθέντων εἰς τὴν Ἑλλάδα Ἑλλήνων τινὲς μὲν εἰς τὰς ἰδίας πατρίδας ἀπηλλάγησαν*[2], *οἱ δὲ πλεῖστοι, στρατιωτικὸν εἰθισμένοι*[3] *ζῆν βίον καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, στρατηγὸν αὐτῶν εἵλοντο*[4] *Ξενοφῶντα, καὶ ἐπολέμουν Θρᾳξὶ τοῖς περὶ τὸν Σαλμυδησσὸν οἰκοῦσιν. — Ἡμεῖς*[5] *χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὑτῶν*[6] *ἕτερα προσπορίζομεν· λυπούμεθα, ἂν*[7] *πτάρῃ*[8] *τις· ἂν εἴπῃ κακῶς, ὀργιζόμεθα· ἂν ἴδῃ*[9] *τις ἐνύπνιον, σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν*[10]. *— Ἀλέξανδρος διαδήματι τὴν κεφαλὴν διεδέδετο καὶ προσκυνεῖσθαι ἠξίου.*

§. 116. 1) Das adjectivisch stehende Particip hängt von *τινές* ab. 2) *ἀπαλλάσσω.* 3) *ἐθίζω.* 4) erwählten, von *αἱρέω.* 5) Das Pronomen ist mit Nachdruck gesetzt: wir im Gegensatz zu der Nothwendigkeit, welche über die Menschen Uebel verhängt. 6) statt *ἡμῶν αὐτῶν*; s. Buttm. §. 127, Anm. 5. 7) = *ἐάν.* 8) *πταίρω.* Das Niesen wurde gewöhnlich für ein schlimmes, selten für ein gutes Vorzeichen (omen) gehalten. 9) Aor. 2. von *ὁράω.* 10) Perf. von *δεῖσαι.*

§. 117. *Οἱ ἐν φιλοσοφίᾳ προκόψαντες ἀντὶ μὲν δούλων ἐλεύθεροι, ἀντὶ δὲ πενήτων ὡς ἀληθῶς*[1] *πλούσιοι, ἀντὶ δὲ ἀνοήτων τε καὶ τετυφωμένων γίγνονται μετριώτεροι. — Φιλόσοφός τις Ἀθηναῖος λέγει· οἱ πολλοὶ*[2] *ἄνθρωποι κατὰ τὰς*

ἀτυχίας μᾶλλον εἰώθασι[3] *τοῦ δαιμονίου μνημονεύειν· καὶ πολλάκις ἐν ταῖς εὐπραξίαις ὡς μύθων πεπλασμένων*[4] *τῶν θεῶν καταφρονοῦντες, κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν. — Ἐπεὶ Ἀλέξανδρος Δαρεῖον ἐπ' Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν*[5] *ἑαυτόν. — Πάλαι μὲν καὶ ἄνθρωποι συνειστιῶντο καὶ συνέπινον τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, οἷον*[6] *Ἰξίων καὶ Τάνταλος· ἐπεὶ δὲ ἦσαν οὗτοι ὑβρισταί, τὸ ἀπὸ τούτου*[7] *ἄβατος ἦν τῷ θνητῷ γένει καὶ ἀπόρρητος ὁ οὐρανός.*

§. 117. 1) *ὡς ἀλ.* in Wahrheit, so daß sie den Namen reich in Wahrheit verdienen; s. über *ὡς* Buttm. §. 149, 1, 2. 2) *οἱ πολλοί*, das latein. plerique. 3) *ἔθω*. 4) ist Prädicat zu *θεῶν*, welcher Gen. von *καταφρονοῦντες* regiert ist. 5) *μεταδιαιτάω*, s. Buttm. §. 86, A. 4; Englm. §. 106, A. 1. 6) s. §. 105, Anm. 1. 7) *τὸ ἀπὸ τούτου*, von dieser Zeit an, seitdem.

§. 118. *Ἐπειδή ποτε Ἥρα καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ τὸν Δία συνδῆσαι ἤθελον, Θέτις ἥκουσα ὑπέλυσεν αὐτὸν τοῦ δεσμοῦ, καλέσασα τὸν ἑκατόγχειρον Βριάρεων εἰς Ὄλυμπον. — Ἡρακλῆς πολλὰ πεπόνηκεν, ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. — Ἐὰν ἐθέλῃς σεαυτοῦ*[1] *γίγνεσθαι, καταγέλασον τῶν δημοσίᾳ νομιζομένων*[2] *ἀγαθῶν, πλούτου καὶ δόξης καὶ βασιλείας καὶ τῶν τοῖς πολλοῖς*[3] *περιβλέπτων. — Αἱ Ἀμαζόνες κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα τὰ*[4] *κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν· καὶ εἴ ποτε γεννήσειαν, μόνον τὰ θήλεα*[5] *ἔτρεφον.*

§. 118. 1) deiner selbst werden, d. h. unabhängig und frei. 2) die Güter, welche die große Menge preist, ea quae vulgo habentur bona. 3) s. §. 66, Anm. 3. 4) in Sachen des Kriegs, d. h. im Kriege. 5) die weiblichen Geburten.

§. 119. *Πᾶσι τοῖς μέλλουσι τελευτᾶν ἐμπίπτει μεταμέλεια, μεμνημένοις ὡς ἐν τῷ βίῳ ἠδικήκασι, καὶ ὁρμὴ*[1] *τοῦ βούλεσθαι, πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς*[2]. *— Ὁ Ἀθηναίων δῆμος τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα ἔχαιρε, τοῖς δὲ σκώπτουσιν ἥκιστα ἐδυσχέραινεν. — Ἐν τῇ Κύπρῳ νήσῳ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε*[3] *τεταγμένα μικρὰ πολίσματα. — Τὸν Πύλιον Νέστορα διὰ γνώμην καὶ γῆρας τῶν συμπάντων ἡρώων*[4] *προὐτίμα Ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός. — Λέγουσι τινες, ὅτι κοσμήσας ἑαυτὸν*

Κροῖσος ὁ Λυδὸς παντοδαπῶς καὶ καθίσας ἐπὶ τὸν θρόνον, ἠρώτησε τὸν Σόλωνα, εἴ[5] τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ[6] 'ἀλεκτρυόνας' εἶπε 'καὶ φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ[7] καλλίονι.'

§. 119. 1) ὁρμὴ τοῦ βούλ. der Wunsch; man ergänze ἐμπίπτει 2) statt ἐπ' αὐτῶν; s. Buttm. §. 134, 4. 3) befanden sich (ὑπὸ ταύτας hängt von τεταγμένα ab). 4) Der Gen. hängt von προὐτίμα ab, welchem Verbum ein Comparativbegriff (höher schätzen) zu Grunde liegt. 5) ob. 6) s. §. 93, Anm. 4. 7) Die Dative μυρίῳ und καλλίονι sind verschieden; letzterer ist Dat. instrument. und gehört zu ἄνθει, μυρίῳ Dativ des Maßes: unzählige Male, tausendmal schöner.

§. 120. Σύλλας, ὁ εὐτυχὴς[1] ἀναγορευθείς, τῶν μεγίστων εὐτυχιῶν[2] ἐποιεῖτο δύο, τὴν Μετέλλου τοῦ Πίου φιλίαν καὶ τὸ μὴ κατασκάψαι Ἀθήνας, ἀλλὰ φείσασθαι[3] τῆς πόλεως. — Φίλιππος ὁ Μακεδόνων βασιλεὺς, πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων[4] αὐτῷ, 'ὦ Τύχη', εἶπε 'μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.' — Ξενοκράτει χρημάτων κομισθέντων[4] ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, 'ἀπαγγείλατε' ἔφη[5] 'Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων'· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

§. 120. 1) Der Artikel gehört zum Particip, εὐτυχής ist Prädicat: Sulla, qui felix cognominatus est. 2) rechnete unter seine größten Glücksfälle rc. 3) φείδομαι. 4) s. §. 67, Anm 1. 5) φημί.

§. 121. Ἄρτεμις λέγεται εὑρεῖν[1] τὴν τῶν νηπίων παίδων θεραπείαν καὶ τροφάς τινας ἁρμαζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας κουροτρόφος ὠνομάζετο. — Σωκράτης παρῄνει φυλάττεσθαι ἐκεῖνα[2] τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων[3], ὅσα πίνειν[4] μὴ διψῶντας. — Σίδην τὴν Ὠρίωνος γυναῖκα ἡ Ἥρα ἔρριψεν ἐς Ἅιδου, περὶ μορφῆς ἐρίσασαν[5]. — Ἑρμῆς, ἔτι βρέφος ὤν, Ἄρεος ἐξείλκυσε λαθὼν[6] ἐκ τοῦ κολεοῦ τὸ ξίφος. — Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐπιφανεστάτας πράξεις τῶν πρὸ αὐτοῦ[7] κατειργασμένος, ἔκτισε πόλιν μεγάλην καὶ εὖ τετειχισμένην καὶ ἐκάλεσεν ἀφ' ἑαυτοῦ Νῖνον.

§. 121. 1) Inf. Aor. 2 von εὑρίσκω. 2) vor jenen Speisen. 3) man ergänze ἐκεῖνα. 4) scil. ἀναπείθει. 5) nemlich mit ihr. 6) heimlich, von λανθάνω. 7) s. §. 114, 4. Der Gen. τῶν hängt von ἐπιφανεστάτας ab.

§. 122. Τοὺς Ἡρακλέους παῖδας, ἀπεστερημένους ὑπὸ τῶν

Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον Ἀθηναῖοι, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειραθέντας τοῖς Ἡρακλέους ἐκγόνοις. — Κρέων μετὰ τὸν θάνατον τῶν Οἰδίποδος παίδων, Ἐτεοκλέους καὶ Πολυνείκους, τὴν Θηβαίων βασιλείαν παραλαβών[1], *τῶν Ἀργείων*[2] *τῶν μετὰ Πολυνείκους ἐπὶ Θήβας στρατευσαμένων τοὺς νεκροὺς ἔρριψεν ἀτάφους, καὶ ἐκήρυξε μηδένα θάψαι. Ἀντιγόνη δὲ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε· καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτὴ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη*[3].

§. 122. 1) Aor. 2 von *παραλαμβάνω*. 2) Der Gen. hängt von *νεκρούς* ab. 3) *ἐγκρύπτω*.

§. 123. *Ἅιδης κατηγορίαν Ἀσκληπιοῦ ἐποιήσατο πρὸς Δία, ὡς τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης*[1]· *ἐλάττους γὰρ ἀεὶ γίγνεσθαι*[2] *τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ· ὁ δὲ Ζεὺς παροξυνθεὶς ἐκεραύνωσε τὸν Ἀσκληπιὸν καὶ διέφθειρεν. — Εὐθύδημός τις γράμματα πολλὰ συνειλεγμένος*[3] *ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, ἐκ τούτων ἤδη ἐνόμιζε διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ. — Τυφῶν μετὰ συριγμῶν καὶ βοῆς πέτρας ἡμμένας*[4] *ἐπὶ τὸν οὐρανὸν ἔβαλλε· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. — Ὡς Ξέρξῃ*[5] *πάντα ἡτοίμαστο πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, κήρυκας ἐξέπεμψεν εἰς πάσας τὰς τῆς Ἑλλάδος πόλεις, προστάξας παρὰ τῶν Ἑλλήνων αἰτεῖν ὕδωρ καὶ γῆν*[6].

§. 123. 1) *ὡς — ταπεινουμένης*, weil (daß) seine Herrschaft beeinträchtigt werde. 2) Der Accus. c. Inf. enthält den Beschwerdegrund des Hades indirect angeführt: es würden nemlich ꝛc. 3) *συλλέγω*. 4) *ἅπτω*. 5) statt *ὑπὸ Ξέρξου*; s. Buttm §. 134, 4. 6) Wasser und Erde waren als die Elemente eines Landes das Zeichen der Unterwerfung.

§. 124. *Λακωνικὴ γυνὴ ἀκούσασα τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὴ φήμη σου κατακέχυται*[1]· *σὺ οὖν ἢ ταύτην ἀπότριψαι ἢ μηδ' ἡμῖν φανῇς. — Οἱ ποιηταί φασι*[2] *τὰς Δαναΐδας ἐν Ἅιδου*[3] *κολάζεσθαι διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ· ὅθεν καὶ παροιμίαν*[4] *ἐπὶ τῶν ἀνήνυτα μοχθούντων 'εἰς τετρυπημένον πίθον ἀντλεῖν' λέγομεν. — Σαλμωνεὺς ἐν Ἤλιδι πόλιν ἔκτισεν· ὑβριστὴς δὲ ὢν*

καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη. Ἔλεγε γὰρ εἶναι Ζεὺς[5] *καὶ ἑαυτῷ προσέτασσε θύειν· καὶ βύρσας μὲν ἐξηραμμένας*[6] *ἐξ*[7] *ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.*

§. 124. 1) *καταχέω.* 2) *φημί*, mit folgendem Accus. c. Inf. 3) s. §. 9, 7. 4) als Sprüchwort, sprüchwörtlich. 5) über den Nominat. c. Inf. s. Buttm. §. 141, 3. 6) *ξηραίνω.* 7) an einem Wagen (aufgehängt, befestigt).

§. 125. *Οὐδεὶς ἄνθρωπος ὢν ἀλύπως τὸν βίον διήγαγεν, οὐδὲ πάλιν*[1] *μέχρι τοῦ τέλους εὐτυχῶν ἔμεινεν. — Ζάλευκος ὁ νομοθέτης τάδε ἔγραψεν ἐν τοῖς νόμοις· ὧδε ἡμῖν*[2] *παρηγγέλθω πᾶσι τοῖς πολίταις καὶ πάσαις ταῖς πολίτισι, μεμνῆσθαι, ὅτι εἰσὶ θεοὶ καὶ δίκας ἐπιπέμπουσι τοῖς ἀδίκοις. — Περσεὺς ἐκαρατόμησε τὴν Γοργόνα Μέδουσαν, ἀπεστραμμένος*[3] *καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν. — Οἱ Ὀδυσσέως ἑταῖροι παρέπλευσαν παρὰ τὰς Σειρῆνας, δεδεμένοι τὰς χεῖρας*[4] *καὶ τὰ ὦτα κηρῷ φραξάμενοι. — Οἱ Καρχηδόνιοι τὴν ἐπὶ Ἱμέρᾳ ναυμαχίαν*[5] *παρ' ἐλπίδας ἡττηθέντες ὑπὸ Συρακουσίων, ἐπὶ τοσοῦτο κατεπλάγησαν*[6]*, ὥστε τὰς νύκτας ἅπαντες διηγρύπνουν φυλάττοντες τὴν πόλιν, ἡγούμενοι τὸν Γέλωνα πάσῃ τῇ δυνάμει παραχρῆμα πλεύσεσθαι ἐπὶ τὴν Καρχηδόνα.*

§. 125. 1) man ergänze *οὐδείς:* und keiner hinwiederum. 2) für *ὑφ' ἡμῶν.* 3) *ἀποστρέφω.* 4) an den Händen. 5) in der Seeschlacht. 6) *καταπλήττω.*

§. 126. *Ἰκάριοις ἔλαβε*[1] *παρὰ Διονύσου κλῆμα ἀμπέλου· καὶ τὰ*[2] *περὶ οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ χάριτας δωρήσασθαι θέλων ἀνθρώποις ἀφικνεῖται*[3] *πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν· μεθ' ἡμέραν*[4] *δὲ νοήσαντες*[5] *ἔθαψαν αὐτὸν καὶ μεγάλως κατωδύραντο. — Δαρεῖος τῆς Ἀσίας σχεδὸν ὅλης κυριεύσας τὴν Εὐρώπην ἐπεθύμει καταστρέψασθαι. Τῷ γὰρ μεγέθει τῆς Περσικῆς δυνάμεως πεποιθὼς περιελάμβανε ταῖς ἐλπίσι πᾶσαν τὴν οἰκουμένην, αἰσχρὸν εἶναι νομίζων, τοὺς μὲν πρὸ αὐτοῦ βεβασιλευκότας, καταδεεστέρας ἀφορμὰς κτησαμένους*[6]*,*

τὰ μέγιστα τῶν ἐθνῶν καταπεπολεμηκέναι, αὐτὸν[7] *δὲ τηλικαύτας ἔχοντα δυνάμεις, ἡλίκας οὐδεὶς τῶν πρὸ αὐτοῦ*[8] *εἶχε, μηδεμίαν ἀξιόλογον πρᾶξιν κατειργάσθαι.*

§. 126. 1) Aorist von *λαμβάνω*. 2) was gehört zur Weinbereitung. 3) Praesens historicum. 4) Tags darauf. 5) neml. daß sie nicht vergiftet waren. 6) man löse das Partic. mit obwohl auf. 7) er selbst. 8) s. §. 114, 4.

§. 127. *Ἐπεὶ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες τῆς Ἑλλάδος παρεγένοντο*[1], *Τυνδάρεως, ὁρῶν αὐτῶν τὸ πλῆθος, ἐδεδοίκει*[2], *μὴ προκριθέντος*[3] *ἑνὸς*[3] *στασιάσωσιν οἱ ἄλλοι. Ἐξώρκισεν οὖν πάντας τοὺς μνηστῆρας βοηθήσειν*[4], *ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπ' ἄλλου τινὸς ἀδικηθῇ περὶ τὸν γάμον. Ταῦτα δὲ ποιήσας Μενέλεων αἱρεῖται νυμφίον. — Τίμων ὁ Ἀθηναῖος πολλοὺς Ἀθηναίων εἰς ὕψος ἄρας*[5] *καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας καὶ πᾶσι τοῖς δεομένοις*[6] *ἐπικουρήσας, μᾶλλον*[7] *δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐκχέας*[8] *τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγένετο, οὐκέτι ἐγνωρίζετο ὑπὸ τῶν πρότερον*[9] *φίλων. — Μήδεια, μέλλουσα φυγαδεύεσθαι ὑπὸ Κρέοντος τοῦ Κορινθίων βασιλέως ἐκ Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι*[10] *καὶ τυχοῦσα*[11], *μισθὸν τῆς χάριτος δῶρα ἔπεμψε τῇ Γλαύκῃ πέπλον μεμαγευμένον φαρμάκῳ καὶ χρυσοῦν στέφανον· οἷς ἐκείνη χρησαμένη*[12] *πυρὶ κατεφλέγη, καὶ ὁ Κρέων δὲ*[13] *περιπλακεὶς*[14] *διεφθάρη.*

§. 127. 1) sich eingefunden hatten, von *παραγίγνομαι*. 2) von *δεῖσαι*. Nach den Verba des Fürchtens steht im Transitivsatze *μή*, wie im Lat. ne. 3) wenn einer den Vorzug erhielte. 4) daß sie bereit seien zu helfen. 5) *αἴρω*. 6) allen Bedürftigen. 7) *μᾶλλον δέ*, oder vielmehr, vel potius. Das folgende *ἀθρόον* ist Prädicat. 8) s. Buttm. §. 96, A. 1; Englm. §. 171. 9) über das Adverb s. §. 76, A. 3. 10) bleiben zu dürfen. 11) von *τυγχάνω*, und als sie es erlangt hatte, nemlich zu bleiben. 12) gebrauchen ist hier so viel als anlegen. 13) *καὶ — δέ*, und — auch. 14) scil. *τῇ Γλαύκῃ*, seiner Tochter.

§. 128. *Ζώπυρος ὁ Μεγαβύζου, ἀνὴρ Πέρσης, ἀποτεμὼν ἑαυτῷ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἑαυτὸν ηὐτομόλησε*[1] *πρὸς Βαβυλωνίους ὑπὸ Δαρείου πολιορκουμένους. Οἱ δὲ Βαβυλώνιοι, ὁρῶντες ἄνδρα τῶν Περσῶν δοκιμώτατον*[2] *ῥινός τε καὶ ὤτων ἐστερημένον καὶ μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, ἐλπίσαντες σφίσιν ἥκειν*[3] *σύμμαχον ἐπετράποντο αὐτῷ τὴν στρατιάν. — Ἀλεξάνδρου*

τοῦ Μακεδόνος ἑκατὸν τάλαντα χρυσίου Φωκίωνι τῷ Ἀθηναίῳ πεπομφότος[4], ἠρώτησεν οὗτος τοὺς κομίσαντας[5], τί δήποτε, πολλῶν Ἀθηναίων ὄντων[6], αὐτῷ μόνῳ Ἀλέξανδρος πέπομφεν. Εἰπόντων[7] δέ, ὅτι[8] ἡγεῖταί σε καλὸν καὶ ἀγαθόν, ʻοὐκοῦνʼ ἔφη ʻἐασάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτονʼ. Καὶ ταῦτα τοῖς κομίσασιν εἰπὼν ἀπεπέμψατο μὲν τὰ χρήματα, Ἀλεξάνδρῳ δὲ ἔγραψεν, εἰ βούλοιτο αὐτῷ χαρίσασθαι, ἀπολῦσαι[9] τοὺς ἐν Σάρδεσιν αἰχμαλώτους, ὅπερ ἐκεῖνος πεποίηκεν.

§. 128. 1) αὐτομολέω. 2) einen der angesehensten Perser. 3) ἥκω hat im Präsens die Bedeutung eines Präteriti. 4) πέμπω (Gen. absol.). 5) die Ueberbringer. 6) da doch der Athener viele seien. 7) als nun diese sagten. 8) weil. 9) so solle er frei lassen.

XIX.

II. Verba auf μι.

§. 129. Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. — Ἀλκυὼν, θαλαττία τις ὄρνις, γοώδη τὸν ἦχον ἀφίησιν. — Ὡς ἐπίπαν τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίρροια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησιν. — Ἀπόλλωνι ἀνατιθέασι[1] τὴν εὕρεσιν τῆς δάφνης καὶ καθιεροῦσιν αὐτὴν τούτῳ τῷ θεῷ. — Οἱ συγγραφεῖς ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστὰς καὶ λόγους. — Πυθαγόρας παρήγγελλε τοῖς μανθάνουσι σπανίως ὀμνύναι. — Τῶν ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει[2]· ἀβεβαιότατον γὰρ ὧν[3] κεκτήμεθα. — Τοὺς χαλεποὺς κύνας τὰς μὲν ἡμέρας[4] διδέασι[5], τὰς δὲ νύκτας ἀφιᾶσιν.

§. 129. 1) schreibt man zu. 2) s. über die Imperativform Butm. §. 107, im Paradigma Anm. I, 5; Englm. §. 189, 1, Anm. 3) von dem was, Attraction statt τούτων ἅ. 4) den Tag über, während der Tageszeiten. 5) bindet man.

§. 130. Θέλομεν καλῶς ζῆν πάντες, ἀλλʼ οὐ δυνάμεθα. — Ἀφεὶς[1] τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. — Μὴ ἐπὶ μικροῖς σαυτὸν ὀξύθυμον δείκνυ. — Πολλοὶ μᾶλλον πρόθυμοί εἰσι διδόναι πλουσίῳ κακῷ[2] ἢ πένητι κἀγαθῷ[3]. — Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιεὶς, βραδέως δὲ κρίνων. — Σὺν τῷ νόμῳ δεῖ[4] τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. — Ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω Ἄρεος ἄγαλμα χρυσοῦν. — Οἱ τῶν μειζόνων ὀρεγόμενοι πολλάκις καὶ ἑαυτοὺς πρὸς αὐτοῖς τοῖς ὑπάρχουσιν[5] ἀπολλύασιν.

§. 130. 1) ἀφίημι. 2) der schlecht ist. 3) καὶ ἀγαθῷ. 4) s. §. 32, Anm. 4. 5) nebst ihren gegenwärtigen Glücksgütern.

§. 131. Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς[1] ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. — Τὴν σιγήν σου συγχώρησιν θήσω[2]. — Ὁ λόγος, φησὶ Σωκράτης, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. — Κάτων γέροντι πονηρευομένῳ ἔφη· 'τί[3], ἄνθρωπε, τῷ γήρᾳ πολλὰ κακὰ ἔχοντι την ἐκ τῆς πονηρίας[4] αἰσχύνην προστίθης;' — Οἱ θεοὶ Τιθωνὸν πολυετῆ καὶ μακρόβιον ἔθεσαν. — Προμηθεὺς Δία παρελογίσατο, ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ παραθεὶς αὐτῷ κεκαλυμμένα τῇ πιμελῇ[5]. — Ζεὺς Σαρπηδόνι τῷ Λυκίων βασιλεῖ ἔδωκεν ἐπὶ τρεῖς γενεὰς ζῆν.

§. 131. 1) das ihr gegen uns hegt. 2) werde ich setzen, d. i. annehmen, halten für ꝛc. 3) warum? wie im Lat. quid? 4) die kommt (hervorgeht) aus der ꝛc. 5) Das Fleisch, das man den Göttern zum Opfer darbrachte, wurde gewöhnlich mit Fett umwickelt und so verbrannt. Daher heißt es hier τῇ πιμελῇ: mit dem zu solchem Opfer gehörigen Fett.

§. 132. Τὸν[1] τὴν ἰδίαν οἰκίαν καλῶς οἰκοῦντα καὶ[2] τὰ κοινὰ[3] τῆς πόλεως παραπλησίως διαθήσειν ἡγοῦμαι. — Σιδὼν ἀποστᾶσα[4] Ἀρταξέρξου τοῦ Ὤχου[5] καλουμένου, διὰ προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. — Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. — Τειρεσίας ὁ μάντις τοῖς Θηβαίοις μαντευομένοις εἶπε νικήσειν[6], ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδιδῷ. Τοῦτο ἀκούσας ὁ Μενοικεὺς ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξεν. — Μίνως τοῖς Κρησὶ νόμους ἔθηκε, προσποιούμενος παρὰ Διὸς τοῦ πατρὸς λαμβάνειν.

§. 132. 1) τόν gehört zu οἰκοῦντα: der, welcher verwaltet. 2) auch. 3) die öffentlichen Angelegenheiten. 4) ἀφίστημι. 5) s. §. 120, Anm. 1. 6) sie würden siegen.

§. 133. Δίκην διδόντων[1] οἱ τοὺς νόμους παραβαίνοντες. — Μαρδόνιος ὁ Περσῶν στρατηγὸς, ἐν τῇ Βοιωτίᾳ διατρίβων μετὰ τῶν δυνάμεων, τῶν ἐν τῇ Πελοποννήσῳ πόλεών τινας ἐπειρᾶτο ἀφιστάναι τῆς τῶν Ἑλλήνων συμμαχίας. — Ὀρφεὺς ἐτελεύτησε διασπασθεὶς ὑπὸ Θρᾳκίων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων. — Εἰώθαμεν[2] λέγειν ἐπὶ[3] τῶν ταχέως τρεχόντων, ὅτι ἵπτανται. — Ἐν Δωδώνῃ, πόλει

fect mit verstärkter Präsens-Bedeutung. 4) οἱ πρὸ αὐτοῦ, die vor ihm gelebt haben.

§. 115. Κρεῖττόν ἐστιν εὖ τεθραμμένην[1] γυναῖκα λαμβάνειν ἄπροικον ἢ κακὴν μετὰ χρημάτων. — Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι[2]. — Τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμεληθέντα δ' ἰσχὺν μείζω λαμβάνει. — Ὁ ἐν τῇ Κρήτῃ λαβύρινθος, τέχνημα Δαιδάλου, ἦν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. — Ἑρμῆς ῥάβδῳ θαυμασίᾳ τὴν δύναμιν[3] ἐψυχαγώγει καὶ κατῆγε τοὺς νεκρούς. — Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ὁ ἐν Δελφοῖς θεὸς ἔχρησε, δυνατωτάτους εἶναι τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. — Ὀρέστης μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας διωκόμενος ὑπὸ τῶν Ἐριννύων ἔφυγε πρὸς Ἀθήνας, καὶ ἐκρίθη ἐν Ἀρείῳ πάγῳ· ἴσων δὲ γενομένων τῶν ψήφων[4] ἀπελύθη.

§. 115. 1) τρέφω. 2) Man construiere: ἀναγκαιότερον (ἐστιν) ἰᾶσθαι ψυχὴν σώματος (= ἢ σῶμα). 3) θαυμάσιος τὴν δύναμιν, wunderbar an Kraft, d. i. von wunderbarer Kraft. 4) da die Stimmen gleich waren, bei Stimmengleichheit.

§. 116. Τῶν ἐστρατευμένων[1] μετὰ Κύρου καὶ διασωθέντων εἰς τὴν Ἑλλάδα Ἑλλήνων τινὲς μὲν εἰς τὰς ἰδίας πατρίδας ἀπηλλάγησαν[2], οἱ δὲ πλεῖστοι, στρατιωτικὸν εἰθισμένοι[3] ζῆν βίον καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, στρατηγὸν αὐτῶν εἵλοντο[4] Ξενοφῶντα, καὶ ἐπολέμουν Θρᾳξὶ τοῖς περὶ τὸν Σαλμυδησσὸν οἰκοῦσιν. — Ἡμεῖς[5] χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὑτῶν[6] ἕτερα προσπορίζομεν· λυπούμεθα, ἂν[7] πτάρῃ[8] τις· ἂν εἴπῃ κακῶς, ὀργιζόμεθα· ἂν ἴδῃ[9] τις ἐνύπνιον, σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν[10]. — Ἀλέξανδρος διαδήματι τὴν κεφαλὴν διεδέδετο καὶ προσκυνεῖσθαι ἠξίου.

§. 116. 1) Das adjectivisch stehende Particip hängt von τινές ab. 2) ἀπαλλάσσω. 3) ἐθίζω. 4) erwählten, von αἱρέω. 5) Das Pronomen ist mit Nachdruck gesetzt: wir im Gegensatz zu der Nothwendigkeit, welche über die Menschen Uebel verhängt. 6) statt ἡμῶν αὐτῶν; s. Buttm. §. 127, Anm. 5. 7) = ἐάν. 8) πταίρω. Das Niesen wurde gewöhnlich für ein schlimmes, selten für ein gutes Vorzeichen (omen) gehalten. 9) Aor. 2. von ὁράω. 10) Perf. von δεῖσαι.

§. 117. Οἱ ἐν φιλοσοφίᾳ προκόψαντες ἀντὶ μὲν δούλων ἐλεύθεροι, ἀντὶ δὲ πενήτων ὡς ἀληθῶς[1] πλούσιοι, ἀντὶ δὲ ἀνοήτων τε καὶ τετυφωμένων γίγνονται μετριώτεροι. — Φιλόσοφός τις Ἀθηναῖος λέγει· οἱ πολλοὶ[2] ἄνθρωποι κατὰ τὰς

ἀτυχίας μᾶλλον εἰώθασι[3] τοῦ δαιμονίου μνημονεύειν· καὶ πολλάκις ἐν ταῖς εὐπραξίαις ὡς μύθων πεπλασμένων[4] τῶν θεῶν καταφρονοῦντες, κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν. — Ἐπεὶ Ἀλέξανδρος Δαρεῖον ἐπ' Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν[5] ἑαυτόν. — Πάλαι μὲν καὶ ἄνθρωποι συνειστιῶντο καὶ συνέπινον τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, οἷον[6] Ἰξίων καὶ Τάνταλος· ἐπεὶ δὲ ἦσαν οὗτοι ὑβρισταί, τὸ ἀπὸ τούτου[7] ἄβατος ἦν τῷ θνητῷ γένει καὶ ἀπόρρητος ὁ οὐρανός.

§. 117. 1) ὡς ἀλ. in Wahrheit, so daß sie den Namen reich in Wahrheit verdienen; s. über ὡς Buttm. §. 149, 1, 2. 2) οἱ πολλοί, das latein. plerique. 3) ἔθω. 4) ist Prädicat zu θεῶν, welcher Gen. von καταφρονοῦντες regiert ist. 5) μεταδιαιτάω, s. Buttm. §. 86, A. 4; Englm. §. 106, A. 1. 6) s. §. 105, Anm. 1. 7) τὸ ἀπὸ τούτου, von dieser Zeit an, seitdem.

§. 118. Ἐπειδή ποτε Ἥρα καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ τὸν Δία συνδῆσαι ἤθελον, Θέτις ἥκουσα ὑπέλυσεν αὐτὸν τοῦ δεσμοῦ, καλέσασα τὸν ἑκατόγχειρον Βριάρεων εἰς Ὄλυμπον. — Ἡρακλῆς πολλὰ πεπόνηκεν, ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. — Ἐὰν ἐθέλῃς σεαυτοῦ[1] γίγνεσθαι, καταγέλασον τῶν δημοσίᾳ νομιζομένων[2] ἀγαθῶν, πλούτου καὶ δόξης καὶ βασιλείας καὶ τῶν τοῖς πολλοῖς[3] περιβλέπτων. — Αἱ Ἀμαζόνες κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμὸν, ἔθνος μέγα τὰ[4] κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν· καὶ εἴ ποτε γεννήσειαν, μόνον τὰ θήλεα[5] ἔτρεφον.

§. 118. 1) deiner selbst werden, d. h. unabhängig und frei. 2) die Güter, welche die große Menge preist, ea quae vulgo habentur bona. 3) s. §. 66, Anm. 3. 4) in Sachen des Kriegs, d. h. im Kriege. 5) die weiblichen Geburten.

§. 119. Πᾶσι τοῖς μέλλουσι τελευτᾶν ἐμπίπτει μεταμέλεια, μεμνημένοις ὡς ἐν τῷ βίῳ ἠδικήκασι, καὶ ὁρμὴ[1] τοῦ βούλεσθαι, πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς[2]. — Ὁ Ἀθηναίων δῆμος τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα ἔχαιρε, τοῖς δὲ σκώπτουσιν ἥκιστα ἐδυσχέραινεν. — Ἐν τῇ Κύπρῳ νήσῳ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε[3] τεταγμένα μικρὰ πολίσματα. — Τὸν Πύλιον Νέστορα διὰ γνώμην καὶ γῆρας τῶν συμπάντων ἡρώων[4] προὐτίμα Ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός. — Λέγουσι τινες, ὅτι κοσμήσας ἑαυτὸν

Κροῖσος ὁ Λυδὸς παντοδαπῶς καὶ καθίσας ἐπὶ τὸν θρόνον, ἠρώτησε τὸν Σόλωνα, εἴ[5] *τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ*[6] *'ἀλεκτρυόνας' εἶπε 'καὶ φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ*[7] *καλλίονι.'*

§. 119. 1) *ὁρμὴ τοῦ βούλ.* der Wunsch; man ergänze *ἐμπίπτει* 2) statt *ἐπ' αὐτῶν*; s. Buttm. §. 134, 4. 3) befanden sich (*ὑπὸ ταύτας* hängt von *τεταγμένα* ab). 4) Der Gen. hängt von *προυτίμα* ab, welchem Verbum ein Comparativbegriff (höher schätzen) zu Grunde liegt. 5) ob. 6) s. §. 93, Anm. 4. 7) Die Dative *μυρίῳ* und *καλλίονι* sind verschieden; letzterer ist Dat. instrument. und gehört zu *ἄνθει*, *μυρίῳ* Dativ des Maßes: unzählige Male, tausendmal schöner.

§. 120. *Σύλλας, ὁ εὐτυχὴς*[1] *ἀναγορευθείς, τῶν μεγίστων εὐτυχιῶν*[2] *ἐποιεῖτο δύο, τὴν Μετέλλου τοῦ Πίου φιλίαν καὶ τὸ μὴ κατασκάψαι Ἀθήνας, ἀλλὰ φείσασθαι*[3] *τῆς πόλεως. — Φίλιππος ὁ Μακεδόνων βασιλεύς, πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων*[4] *αὐτῷ, 'ὦ Τύχη', εἶπε 'μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.' — Ξενοκράτει χρημάτων κομισθέντων*[4] *ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, 'ἀπαγγείλατε' ἔφη*[5] *'Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων'· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.*

§. 120. 1) Der Artikel gehört zum Particip, *εὐτυχής* ist Prädicat: Sulla, qui felix cognominatus est. 2) rechnete unter seine größten Glücksfälle rc. 3) *φείδομαι.* 4) s. §. 67, Anm 1. 5) *φημί.*

§. 121. *Ἄρτεμις λέγεται εὑρεῖν*[1] *τὴν τῶν νηπίων παίδων θεραπείαν καὶ τροφάς τινας ἁρμαζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας κουροτρόφος ὠνομάζετο. — Σωκράτης παρῄνει φυλάττεσθαι ἐκεῖνα*[2] *τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων*[3]*, ὅσα πίνειν*[4] *μὴ διψῶντας. — Σίδην τὴν Ὠρίωνος γυναῖκα ἡ Ἥρα ἔρριψεν ἐς Ἅιδου, περὶ μορφῆς ἐρίσασαν*[5]*. — Ἑρμῆς, ἔτι βρέφος ὤν, Ἄρεος ἐξείλκυσε λαθὼν*[6] *ἐκ τοῦ κολεοῦ τὸ ξίφος. — Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐπιφανεστάτας πράξεις τῶν πρὸ αὐτοῦ*[7] *κατειργασμένος, ἔκτισε πόλιν μεγάλην καὶ εὖ τετειχισμένην καὶ ἐκάλεσεν ἀφ' ἑαυτοῦ Νῖνον.*

§. 121. 1) Inf. Aor. 2 von *εὑρίσκω.* 2) vor jenen Speisen. 3) man ergänze *ἐκεῖνα.* 4) scil. *ἀναπείθει.* 5) nemlich mit ihr. 6) heimlich, von *λανθάνω.* 7) s. §. 114, 4. Der Gen. *τῶν* hängt von *ἐπιφανεστάτας* ab.

§. 122. *Τοὺς Ἡρακλέους παῖδας, ἀπεστερημένους ὑπὸ τῶν*

Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον Ἀθηναῖοι, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειραθέντας τοῖς Ἡρακλέους ἐκγόνοις. — Κρέων μετὰ τὸν θάνατον τῶν Οἰδίποδος παίδων, Ἐτεοκλέους καὶ Πολυνείκους, τὴν Θηβαίων βασιλείαν παραλαβών[1], *τῶν Ἀργείων*[2] *τῶν μετὰ Πολυνείκους ἐπὶ Θήβας στρατευσαμένων τοὺς νεκροὺς ἔρριψεν ἀτάφους, καὶ ἐκήρυξε μηδένα θάψαι. Ἀντιγόνη δέ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε· καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτὴ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη*[3].

§. 122. 1) Aor. 2 von *παραλαμβάνω*. 2) Der Gen. hängt von *νεκρούς* ab. 3) *ἐγκρύπτω*.

§. 123. *Ἅιδης κατηγορίαν Ἀσκληπιοῦ ἐποιήσατο πρὸς Δία, ὡς τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης*[1]· *ἐλάττους γὰρ ἀεὶ γίγνεσθαι*[2] *τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ· ὁ δὲ Ζεὺς παροξυνθεὶς ἐκεραύνωσε τὸν Ἀσκληπιὸν καὶ διέφθειρεν. — Εὐθύδημός τις γράμματα πολλὰ συνειλεγμένος*[3] *ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, ἐκ τούτων ἤδη ἐνόμιζε διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ. — Τυφῶν μετὰ συριγμῶν καὶ βοῆς πέτρας ἡμμένας*[4] *ἐπὶ τὸν οὐρανὸν ἔβαλλε· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. — Ὡς Ξέρξῃ*[5] *πάντα ἡτοίμαστο πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, κήρυκας ἐξέπεμψεν εἰς πάσας τὰς τῆς Ἑλλάδος πόλεις, προστάξας παρὰ τῶν Ἑλλήνων αἰτεῖν ὕδωρ καὶ γῆν*[6].

§. 123. 1) *ὡς — ταπεινουμένης*, weil (daß) seine Herrschaft beeinträchtigt werde. 2) Der Accus. c. Inf. enthält den Beschwerdegrund des Hades indirect angeführt: es würden nemlich 2c. 3) *συλλέγω*. 4) *ἅπτω*. 5) statt *ὑπὸ Ξέρξου*; s. Buttm §. 134, 4. 6) Wasser und Erde waren als die Elemente eines Landes das Zeichen der Unterwerfung.

§. 124. *Λακωνικὴ γυνὴ ἀκούσασα τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὴ φήμη σου κατακέχυται*[1]· *σὺ οὖν ἢ ταύτην ἀπότριψαι ἢ μηδ' ἡμῖν φανῇς. — Οἱ ποιηταί φασι*[2] *τὰς Δαναΐδας ἐν Ἅιδου*[3] *κολάζεσθαι διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ· ὅθεν καὶ παροιμίαν*[4] *ἐπὶ τῶν ἀνήνυτα μοχθούντων 'εἰς τετρυπημένον πίθον ἀντλεῖν' λέγομεν. — Σαλμωνεὺς ἐν Ἤλιδι πόλιν ἔκτισεν· ὑβριστὴς δὲ ὢν*

καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη. Ἔλεγε γὰρ εἶναι Ζεὺς[5] καὶ ἑαυτῷ προσέτασσε θύειν· καὶ βύρσας μὲν ἐξηραμμένας[6] ἐξ[7] ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

§. 124. 1) καταχέω. 2) φημί, mit folgendem Accus. c. Inf. 3) s. §. 9, 7. 4) als Sprüchwort, sprüchwörtlich. 5) über den Nominat. c. Inf. s. Buttm. §. 141, 3. 6) ξηραίνω. 7) an einem Wagen (aufgehängt, befestigt).

§. 125. Οὐδεὶς ἄνθρωπος ὢν ἀλύπως τὸν βίον διήγαγεν, οὐδὲ πάλιν[1] μέχρι τοῦ τέλους εὐτυχῶν ἔμεινεν. — Ζάλευκος ὁ νομοθέτης τάδε ἔγραψεν ἐν τοῖς νόμοις· ὧδε ἡμῖν[2] παρηγγέλθω πᾶσι τοῖς πολίταις καὶ πάσαις ταῖς πολίτισι, μεμνῆσθαι, ὅτι εἰσὶ θεοὶ καὶ δίκας ἐπιπέμπουσι τοῖς ἀδίκοις. — Περσεὺς ἐκαρατόμησε τὴν Γοργόνα Μέδουσαν, ἀπεστραμμένος[3] καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν. — Οἱ Ὀδυσσέως ἑταῖροι παρέπλευσαν παρὰ τὰς Σειρῆνας, δεδεμένοι τὰς χεῖρας[4] καὶ τὰ ὦτα κηρῷ φραξάμενοι. — Οἱ Καρχηδόνιοι τὴν ἐπὶ Ἱμέρᾳ ναυμαχίαν[5] παρ' ἐλπίδας ἡττηθέντες ὑπὸ Συρακουσίων, ἐπὶ τοσοῦτο κατεπλάγησαν[6], ὥστε τὰς νύκτας ἅπαντες διηγρύπνουν φυλάττοντες τὴν πόλιν, ἡγούμενοι τὸν Γέλωνα πάσῃ τῇ δυνάμει παραχρῆμα πλεύσεσθαι ἐπὶ τὴν Καρχηδόνα.

§. 125. 1) man ergänze οὐδείς: und keiner hinwiederum. 2) für ὑφ' ἡμῶν. 3) ἀποστρέφω. 4) an den Händen. 5) in der Seeschlacht. 6) καταπλήττω.

§. 126. Ἰκάριος ἔλαβε[1] παρὰ Διονύσου κλῆμα ἀμπέλου· καὶ τὰ[2] περὶ οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ χάριτας δωρήσασθαι θέλων ἀνθρώποις ἀφικνεῖται[3] πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν· μεθ' ἡμέραν[4] δὲ νοήσαντες[5] ἔθαψαν αὐτὸν καὶ μεγάλως κατωδύραντο. — Δαρεῖος τῆς Ἀσίας σχεδὸν ὅλης κυριεύσας τὴν Εὐρώπην ἐπεθύμει καταστρέψασθαι. Τῷ γὰρ μεγέθει τῆς Περσικῆς δυνάμεως πεποιθὼς περιελάμβανε ταῖς ἐλπίσι πᾶσαν τὴν οἰκουμένην, αἰσχρὸν εἶναι νομίζων, τοὺς μὲν πρὸ αὐτοῦ βεβασιλευκότας, καταδεεστέρας ἀφορμὰς κτησαμένους[6],

τὰ μέγιστα τῶν ἐθνῶν καταπεπολεμηκέναι, αὐτὸν[7] δὲ τηλικαύτας ἔχοντα δυνάμεις, ἡλίκας οὐδεὶς τῶν πρὸ αὐτοῦ[8] εἶχε, μηδεμίαν ἀξιόλογον πρᾶξιν κατειργάσθαι.

§. 126. 1) Aorist von λαμβάνω. 2) was gehört zur Weinbereitung. 3) **Praesens historicum.** 4) Tags darauf. 5) neml. daß sie nicht vergiftet waren. 6) man löse das Partic. mit obwohl auf. 7) er selbst. 8) s. §. 114, 4.

§. 127. Ἐπεὶ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες τῆς Ἑλλάδος παρεγένοντο[1], Τυνδάρεως, ὁρῶν αὐτῶν τὸ πλῆθος, ἐδεδοίκει[2], μὴ προκριθέντος[3] ἑνὸς[3] στασιάσωσιν οἱ ἄλλοι. Ἐξώρκισεν οὖν πάντας τοὺς μνηστῆρας βοηθήσειν[4], ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπ' ἄλλου τινὸς ἀδικηθῇ περὶ τὸν γάμον. Ταῦτα δὲ ποιήσας Μενέλεων αἱρεῖται νυμφίον. — Τίμων ὁ Ἀθηναῖος πολλοὺς Ἀθηναίων εἰς ὕψος ἄρας[5] καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας καὶ πᾶσι τοῖς δεομένοις[6] ἐπικουρήσας, μᾶλλον[7] δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐκχέας[8] τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγένετο, οὐκέτι ἐγνωρίζετο ὑπὸ τῶν πρότερον[9] φίλων. — Μήδεια, μέλλουσα φυγαδεύεσθαι ὑπὸ Κρέοντος τοῦ Κορινθίων βασιλέως ἐκ Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι[10] καὶ τυχοῦσα[11], μισθὸν τῆς χάριτος δῶρα ἔπεμψε τῇ Γλαύκῃ πέπλον μεμαγευμένον φαρμάκῳ καὶ χρυσοῦν στέφανον· οἷς ἐκείνη χρησαμένη[12] πυρὶ κατεφλέγη, καὶ ὁ Κρέων δὲ[13] περιπλακεὶς[14] διεφθάρη.

§. 127. 1) sich eingefunden hatten, von παραγίγνομαι. 2) von δεῖσαι. Nach den Verba des Fürchtens steht im Transitivsatze μή, wie im Lat. ne. 3) wenn einer den Vorzug erhielte. 4) daß sie bereit seien zu helfen. 5) αἴρω. 6) allen Bedürftigen. 7) μᾶλλον δέ, oder vielmehr, **vel potius**. Das folgende ἀθρόον ist Prädicat. 8) s. Buttm. §. 96, A. 1; Englm. §. 171. 9) über das Adverb s. §. 76, A. 3. 10) bleiben zu dürfen. 11) von τυγχάνω, und als sie es erlangt hatte, nemlich zu bleiben. 12) gebrauchen ist hier so viel als anlegen. 13) καὶ — δέ, und — auch. 14) scil. τῇ Γλαύκῃ, seiner Tochter.

§. 128. Ζώπυρος ὁ Μεγαβύζου, ἀνὴρ Πέρσης, ἀποτεμὼν ἑαυτῷ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἑαυτὸν ηὐτομόλησε[1] πρὸς Βαβυλωνίους ὑπὸ Δαρείου πολιορκουμένους. Οἱ δὲ Βαβυλώνιοι, ὁρῶντες ἄνδρα τῶν Περσῶν δοκιμώτατον[2] ῥινός τε καὶ ὤτων ἐστερημένον καὶ μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, ἐλπίσαντες σφίσιν ἥκειν[3] σύμμαχον ἐπετράποντο αὐτῷ τὴν στρατιάν. — Ἀλεξάνδρου

τοῦ Μακεδόνος ἑκατὸν τάλαντα χρυσίου Φωκίωνι τῷ Ἀθηναίῳ πεπομφότος[4], ἠρώτησεν οὗτος τοὺς κομίσαντας[5], τί δήποτε, πολλῶν Ἀθηναίων ὄντων[6], αὐτῷ μόνῳ Ἀλέξανδρος πέπομφεν. Εἰπόντων[7] δέ, ὅτι[8] ἡγεῖταί σε καλὸν καὶ ἀγαθόν, ‘οὐκοῦν’ ἔφη ‘ἐασάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτον’. Καὶ ταῦτα τοῖς κομίσασιν εἰπὼν ἀπεπέμψατο μὲν τὰ χρήματα, Ἀλεξάνδρῳ δὲ ἔγραψεν, εἰ βούλοιτο αὐτῷ χαρίσασθαι, ἀπολῦσαι[9] τοὺς ἐν Σάρδεσιν αἰχμαλώτους, ὅπερ ἐκεῖνος πεποίηκεν.

§. 128. 1) αὐτομολέω. 2) einen der angesehensten Perser. 3) ἥκω hat im Präsens die Bedeutung eines Präteriti. 4) πέμπω (Gen. absol.). 5) die Ueberbringer. 6) da doch der Athener viele seien. 7) als nun diese sagten. 8) weil. 9) so solle er frei lassen.

XIX.

II. Verba auf μι.

§. 129. Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. — Ἀλκυών, θαλαττία τις ὄρνις, γοώδη τὸν ἦχον ἀφίησιν. — Ὡς ἐπίπαν τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίρροια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησιν. — Ἀπόλλωνι ἀνατιθέασι[1] τὴν εὕρεσιν τῆς δάφνης καὶ καθιεροῦσιν αὐτὴν τούτῳ τῷ θεῷ. — Οἱ συγγραφεῖς ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστὰς καὶ λόγους. — Πυθαγόρας παρήγγελλε τοῖς μανθάνουσι σπανίως ὀμνύναι. — Τῶν ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει[2]· ἀβεβαιότατον γὰρ ὧν[3] κεκτήμεθα. — Τοὺς χαλεποὺς κύνας τὰς μὲν ἡμέρας[4] διδέασι[5], τὰς δὲ νύκτας ἀφιᾶσιν.

§. 129. 1) schreibt man zu. 2) s. über die Imperativform Buttm. §. 107, im Paradigma Anm. I, 5; Englm. §. 189, 1, Anm. 3) von dem was, Attraction statt τούτων ἅ. 4) den Tag über, während der Tageszeiten. 5) bindet man.

§. 130. Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα. — Ἀφεὶς[1] τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. — Μὴ ἐπὶ μικροῖς σαυτὸν ὀξύθυμον δείκνυ. — Πολλοὶ μᾶλλον πρόθυμοί εἰσι διδόναι πλουσίῳ κακῷ[2] ἢ πένητι κἀγαθῷ[3]. — Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων. — Σὺν τῷ νόμῳ δεῖ[4] τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. — Ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω Ἄρεος ἄγαλμα χρυσοῦν. — Οἱ τῶν μειζόνων ὀρεγόμενοι πολλάκις καὶ ἑαυτοὺς πρὸς αὐτοῖς τοῖς ὑπάρχουσιν[5] ἀπολλύασιν.

§. 130. 1) ἀφίημι. 2) der schlecht ist. 3) καὶ ἀγαθῷ. 4) s. §. 32, Anm. 4. 5) nebst ihren gegenwärtigen Glücksgütern.

§. 131. Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς[1] ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. — Τὴν σιγήν σου συγχώρησιν θήσω[2]. — Ὁ λόγος, φησὶ Σωκράτης, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. — Κάτων γέροντι πονηρευομένῳ ἔφη· 'τί[3], ἄνθρωπε, τῷ γήρᾳ πολλὰ κακὰ ἔχοντι τὴν ἐκ τῆς πονηρίας[4] αἰσχύνην προστίθης;' — Οἱ θεοὶ Τιθωνὸν πολυετῆ καὶ μακρόβιον ἔθεσαν. — Προμηθεὺς Δία παρελογίσατο, ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ παραθεὶς αὐτῷ κεκαλυμμένα τῇ πιμελῇ[5]. — Ζεὺς Σαρπηδόνι τῷ Λυκίων βασιλεῖ ἔδωκεν ἐπὶ τρεῖς γενεὰς ζῆν.

§. 131. 1) das ihr gegen uns hegt. 2) werde ich setzen, d. i. annehmen, halten für ꝛc. 3) warum? wie im Lat. quid? 4) die kommt (hervorgeht) aus der ꝛc. 5) Das Fleisch, das man den Göttern zum Opfer darbrachte, wurde gewöhnlich mit Fett umwickelt und so verbrannt. Daher heißt es hier τῇ πιμελῇ: mit dem zu solchem Opfer gehörigen Fett.

§. 132. Τὸν[1] τὴν ἰδίαν οἰκίαν καλῶς οἰκοῦντα καὶ[2] τὰ κοινὰ[3] τῆς πόλεως παραπλησίως διαθήσειν ἡγοῦμαι. — Σιδὼν ἀποστᾶσα[4] Ἀρταξέρξου τοῦ Ὤχου[5] καλουμένου, διὰ προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. — Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. — Τειρεσίας ὁ μάντις τοῖς Θηβαίοις μαντευομένοις εἶπε νικήσειν[6], ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδιδῷ. Τοῦτο ἀκούσας ὁ Μενοικεὺς ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξεν. — Μίνως τοῖς Κρησὶ νόμους ἔθηκε, προσποιούμενος παρὰ Διὸς τοῦ πατρὸς λαμβάνειν.

§. 132. 1) τόν gehört zu οἰκοῦντα: der, welcher verwaltet. 2) auch. 3) die öffentlichen Angelegenheiten. 4) ἀφίστημι. 5) s. §. 120, Anm. 1. 6) sie würden siegen.

§. 133. Δίκην διδόντων[1] οἱ τοὺς νόμους παραβαίνοντες. — Μαρδόνιος ὁ Περσῶν στρατηγὸς, ἐν τῇ Βοιωτίᾳ διατρίβων μετὰ τῶν δυνάμεων, τῶν ἐν τῇ Πελοποννήσῳ πόλεών τινας ἐπειρᾶτο ἀφιστάναι τῆς τῶν Ἑλλήνων συμμαχίας. — Ὀρφεὺς ἐτελεύτησε διασπασθεὶς ὑπὸ Θρᾳκίων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων. — Εἰώθαμεν[2] λέγειν ἐπὶ[3] τῶν ταχέως τρεχόντων, ὅτι ἵπτανται. — Ἐν Δωδώνῃ, πόλει

ὑπὲρ τὰς διακοσίας. — Παυσανίας ἐπαρθεὶς[5] τῇ εὐτυχίᾳ τὴν τῶν Μήδων τρυφὴν ἐμιμήσατο.

§. 109. 1) scil. ἐστί, es ist schwierig, im Gegensatz zu ῥᾴδιον. 2) hier so viel als σωρὸν χρημάτων. 3) = ἐν μιᾷ ἡμέρᾳ. 4) ὁ μὲν ἕτερος — ὁ δὲ ἕτερος, die eine — die andere Partei (Kläger und Beklagter). 5) ἐπαίρω.

§. 110. Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ὢν φύσει[1] πολεμικὸς καὶ ζηλωτὴς ἀρετῆς, καθώπλισε τῶν νέων τοὺς κρατίστους, γυμνάσας δ' αὐτοὺς πλείονα χρόνον, συνήθεις ἐποίησε κακοπαθείᾳ καὶ πολεμικοῖς κινδύνοις. — Τὰ μέγιστα τῶν πραγμάτων ἐκ πόνων φιλεῖ[2] κατορθοῦσθαι, κατορθωθέντα δὲ εἰς τὴν ἡδονὴν φέρει. — Χρηστέον[3] ἐν τῇ λέξει τοῖς ἁπλοῖς ὀνόμασι μᾶλλον ἢ τοῖς συνθέτοις, καὶ τοῖς βραχυτέροις μᾶλλον ἢ τοῖς μακροτέροις, ὅταν τὸ αὐτὸ σημαίνωσιν. — Ἡρακλῆς ἐπὶ τοῦ Καυκάσου κατετόξευσε τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ ἀετόν, καὶ τὸν Προμηθέα διέλυσεν. — Ὄσιρις ὁ βασιλεὺς τῆς Αἰγύπτου λέγεται στρατεῦσαι ἐπὶ πᾶσαν χώραν ἕως εἰς τοὺς ἀοικήτους τόπους τῶν Ἰνδῶν καὶ εἰς τοὺς πρὸς ἄρκτον κεκλιμένους[4] καὶ μέχρι τῶν τοῦ Ἴστρου ποταμοῦ πηγῶν καὶ πάλιν ἐπὶ τἆλλα μέρη[5] ἕως Ὠκεανοῦ.

§. 110. 1) von Natur aus. 2) pflegt. 3) Adj. verb. von χράομαι. 4) κλίνω. 5) und wiederum nach den anderen Seiten, worunter hier die Südgegenden verstanden sind.

§. 111. Ἡ Σπαρτιατῶν πόλις μάλιστα τὰ παλαιὰ διέσωζεν. — Οἱ Ἀθηναῖοι Δημοσθένην τὸν ῥήτορα ἀπὸ τοῦ ὀνόματος ἐνεκωμίαζον[1], λέγοντες εἶναι αὐτὸν σθένος τοῦ δήμου. — Κλεινίας ὁ Πυθαγόρειος, εἴ ποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργήν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε· πρὸς δὲ τοὺς ἐρωτήσαντας τὴν αἰτίαν ἔλεγε· 'πραΰνομαι'. — Κλεάνθης ὁ φιλόσοφος, ἐρωτώμενος, διὰ τί παρὰ τοῖς ἀρχαίοις, οὐ πολλῶν φιλοσοφησάντων[2], ὅμως πλείους διέλαμψαν ἢ νῦν· 'ὅτι' εἶπε 'τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος'. — Ἀρσάκης ὁ Μῆδος καὶ ὁ ἵππος αὐτοῦ μιᾷ πληγῇ ἀμφότεροι διεπάρησαν[3] ὑπὸ Θρᾳκός τινος πελταστοῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ συμπλοκῇ.

§. 111. 1) ἐγκωμιάζω. 2) Der Gen. absol. ist mit obwohl aufzulösen. 3) διαπείρω.

§. 112. Ὁ[1] τὴν ἀρίστην τύχην ἔχειν οἰόμενος οὐκ οἶδεν, εἰ τοιαύτη διαμενεῖ μέχρι τῆς ἑσπέρας. — Αἵ τε τοῦ ἔτους

ὧραι, κατὰ καιρὸν τὰς μεταβολὰς λαμβάνουσαι, καὶ οἱ ὄμβροι καὶ καρποὶ καθ' ὥραν γιγνόμενοι, καὶ τὰ μέρη δὲ[2] τῶν ὡρῶν ὡς κάλλιστα[3] δεδημιούργηται ὑπὸ τῆς φύσεως πρὸς διαμονὴν καὶ σωτηρίαν τῶν[4] ἐν τῷ κόσμῳ. — Οὐδ'[5] οἱ κεκτημένοι[6] τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτων ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλέονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. — Ὃς ἂν ἀποτελεσθῇ πρὸς ἀρετήν, οὗτος οὔτε ὀργῇ οὔτε φόβῳ οὔτ' ἐπιθυμίαις ἂν δουλεύσειεν[7].

§. 112. 1) ὁ gehört zu οἰόμενος: wer glaubt. 2) καὶ — δέ, und auch, s. Buttm. §. 149, 10. 3) ὡς κάλλ., so schön als möglich. 4) τὰ ἐν τῷ κ., die Dinge in der Welt. 5) auch nicht, nicht einmal. 6) κτάομαι. 7) über die Bedeutung des Opt. mit ἄν s. §. 69, Anm. 2.

§. 113. Τῶν Ἑλλήνων πάντων διαπρεσβευσαμένων[1] πρὸς Γέλωνα περὶ συμμαχίας, ὅτε Ξέρξης διέβαινε πρὸς τὴν Εὐρώπην, οὗτος[2] ἐπηγγείλατο[3] συμμαχῆσαι καὶ σιταρχῆσαι, εἴ γε τὴν ἡγεμονίαν εἴτε τὴν κατὰ γῆν εἴτε τὴν κατὰ θάλατταν αὐτῷ παρέξοιεν. — Ἡρακλῆς Λιβύην διαπορευόμενος Ἀνταῖον, τὸν ῥώμῃ σώματος καὶ παλαίστρας ἐμπειρίᾳ διαβεβοημένον καὶ τοὺς ὑπ' αὐτοῦ καταπαλαισθέντας ξένους ἀποκτείνοντα, παρακαλεσάμενος εἰς μάχην καὶ συμπλακεὶς διέφθειρεν. — Μετὰ τὴν Αἰγέως τελευτὴν Θησεὺς διαδεξάμενος[4] τὴν βασιλείαν Ἀθηναίων, ἦρχε τοῦ πλήθους νομίμως καὶ πολλὰ πρὸς αὔξησιν τῆς πατρίδος ἔπραξεν.

§. 113. 1) s. Anm. 1, §. 67. 2) οὗτος bezieht sich auf den Gelon. 3) ἐπαγγέλλομαι. 4) διαδέχομαι.

§. 114. Τὸ ἀγαθὸν ἀεὶ νικάτω. — Ὧν τὰς δόξας[1] ζηλοῖς, τούτων μιμοῦ τὰς πράξεις. — Οἱ ὑπερηφάνως ταῖς εὐτυχίαις χρώμενοι δικαίως μισοῦνται. — Καλῶς τὴν φιλοσοφίαν ἐπηνέσατε καὶ τὴν ἀπὸ ταύτης[2] ἐλευθερίαν. — Ἀλέξανδρος μετὰ τὴν ἐν Ἀρβήλοις μάχην Δαρεῖον καθῃρηκὼς ἦρχε Περσῶν. — Διογένης τοὺς ῥήτορας τὰ δίκαια μὲν ἔλεγεν ἐσπουδακέναι[3], πράττειν δὲ οὐδαμῶς. — Θησεὺς τὴν Ἀριάδνην ἐν Νάξῳ κατέλιπε καὶ ἐξέπλευσε, Διόνυσος δὲ αὐτὴν ἀπήγαγεν. — Σαρδανάπαλος ὁ ἔσχατος Ἀσσυρίων βασιλεὺς ὑπερῆρεν ἅπαντας τοὺς πρὸ αὐτοῦ[4] τρυφῇ καὶ ῥᾳθυμίᾳ.

§. 114. 1) Der Plural, weil von dem Rufe mehrerer die Rede ist. 2) die von dieser kommende, d. i. durch sie zu gewinnende Freiheit. 3) Per-

fect mit verstärkter Präsens-Bedeutung. 4) *οἱ πρὸ αὐτοῦ*, die vor ihm gelebt haben.

§. 115. *Κρεῖττόν ἐστιν εὖ τεθραμμένην*[1] *γυναῖκα λαμβάνειν ἄπροικον ἢ κακὴν μετὰ χρημάτων. — Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι*[2]. *— Τὰ πονηρὰ τῶν ἐθῶν ἄρχεται μὲν ἀπὸ μικρῶν, ἀμεληθέντα δ' ἰσχὺν μείζω λαμβάνει. — Ὁ ἐν τῇ Κρήτῃ λαβύρινθος, τέχνημα Δαιδάλου, ἦν οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. — Ἑρμῆς ῥάβδῳ θαυμασίᾳ τὴν δύναμιν*[3] *ἐψυχαγώγει καὶ κατῆγε τοὺς νεκρούς. — Κροίσῳ τῷ Λυδῶν βασιλεῖ ὁ ἐν Δελφοῖς θεὸς ἔχρησε, δυνατωτάτους εἶναι τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. — Ὀρέστης μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας διωκόμενος ὑπὸ τῶν Ἐριννύων ἔφυγε πρὸς Ἀθήνας, καὶ ἐκρίθη ἐν Ἀρείῳ πάγῳ· ἴσων δὲ γενομένων τῶν ψήφων*[4] *ἀπελύθη.*

§. 115. 1) *τρέφω.* 2) Man construiere: *ἀναγκαιότερον (ἐστιν) ἰᾶσθαι ψυχὴν σώματος* (= *ἢ σῶμα*). 3) *θαυμάσιος τὴν δύναμιν*, wunderbar an Kraft, d. i. von wunderbarer Kraft. 4) da die Stimmen gleich waren, bei Stimmengleichheit.

§. 116. *Τῶν ἐστρατευμένων*[1] *μετὰ Κύρου καὶ διασωθέντων εἰς τὴν Ἑλλάδα Ἑλλήνων τινὲς μὲν εἰς τὰς ἰδίας πατρίδας ἀπηλλάγησαν*[2], *οἱ δὲ πλεῖστοι, στρατιωτικὸν εἰθισμένοι*[3] *ζῆν βίον καὶ σχεδὸν ὄντες πεντακισχίλιοι, στρατηγὸν αὐτῶν εἵλοντο*[4] *Ξενοφῶντα, καὶ ἐπολέμουν Θρᾳξὶ τοῖς περὶ τὸν Σαλμυδησσὸν οἰκοῦσιν. — Ἡμεῖς*[5] *χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ' αὑτῶν*[6] *ἕτερα προσπορίζομεν· λυπούμεθα, ἂν*[7] *πτάρῃ*[8] *τις· ἂν εἴπῃ κακῶς, ὀργιζόμεθα· ἂν ἴδῃ*[9] *τις ἐνύπνιον, σφόδρα φοβούμεθα· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν*[10]. *— Ἀλέξανδρος διαδήματι τὴν κεφαλὴν διεδέδετο καὶ προσκυνεῖσθαι ἠξίου.*

§. 116. 1) Das adjectivisch stehende Particip hängt von *τινές* ab. 2) *ἀπαλλάσσω.* 3) *ἐθίζω.* 4) erwählten, von *αἱρέω.* 5) Das Pronomen ist mit Nachdruck gesetzt: wir im Gegensatz zu der Nothwendigkeit, welche über die Menschen Uebel verhängt. 6) statt *ἡμῶν αὐτῶν*; s. Buttm. §. 127, Anm. 5. 7) = *ἐάν.* 8) *πταίρω.* Das Niesen wurde gewöhnlich für ein schlimmes, selten für ein gutes Vorzeichen (omen) gehalten. 9) Aor. 2. von *ὁράω.* 10) Perf. von *δεῖσαι.*

§. 117. *Οἱ ἐν φιλοσοφίᾳ προκόψαντες ἀντὶ μὲν δούλων ἐλεύθεροι, ἀντὶ δὲ πενήτων ὡς ἀληθῶς*[1] *πλούσιοι, ἀντὶ δὲ ἀνοήτων τε καὶ τετυφωμένων γίγνονται μετριώτεροι. — Φιλόσοφός τις Ἀθηναῖος λέγει· οἱ πολλοὶ*[2] *ἄνθρωποι κατὰ τὰς*

ἀτυχίας μᾶλλον εἰώθασι[3] τοῦ δαιμονίου μνημονεύειν· καὶ πολλάκις ἐν ταῖς εὐπραξίαις ὡς μύθων πεπλασμένων[4] τῶν θεῶν καταφρονοῦντες, κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν. — Ἐπεὶ Ἀλέξανδρος Δαρεῖον ἐπ' Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν[5] ἑαυτόν. — Πάλαι μὲν καὶ ἄνθρωποι συνειστιῶντο καὶ συνέπινον τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, οἷον[6] Ἰξίων καὶ Τάνταλος· ἐπεὶ δὲ ἦσαν οὗτοι ὑβρισταί, τὸ ἀπὸ τούτου[7] ἄβατος ἦν τῷ θνητῷ γένει καὶ ἀπόρρητος ὁ οὐρανός.

§. 117. 1) ὡς ἀλ. in Wahrheit, so daß sie den Namen reich in Wahrheit verdienen; s. über ὡς Buttm. §. 149, 1, 2. 2) οἱ πολλοί, das latein. plerique. 3) ἔθω. 4) ist Prädicat zu θεῶν, welcher Gen. von καταφρονοῦντες regiert ist. 5) μεταδιαιτάω, s. Buttm. §. 86, A. 4; Englm. §. 106, A. 1. 6) s. §. 105, Anm. 1. 7) τὸ ἀπὸ τούτου, von dieser Zeit an, seitdem.

§. 118. Ἐπειδή ποτε Ἥρα καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ τὸν Δία συνδῆσαι ἤθελον, Θέτις ἥκουσα ὑπέλυσεν αὐτὸν τοῦ δεσμοῦ, καλέσασα τὸν ἑκατόγχειρον Βριάρεων εἰς Ὄλυμπον. — Ἡρακλῆς πολλὰ πεπόνηκεν, ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. — Ἐὰν ἐθέλῃς σεαυτοῦ[1] γίγνεσθαι, καταγέλασον τῶν δημοσίᾳ νομιζομένων[2] ἀγαθῶν, πλούτου καὶ δόξης καὶ βασιλείας καὶ τῶν τοῖς πολλοῖς[3] περιβλέπτων. — Αἱ Ἀμαζόνες κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα τὰ[4] κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν· καὶ εἴ ποτε γεννήσειαν, μόνον τὰ θήλεα[5] ἔτρεφον.

§. 118. 1) deiner selbst werden, d. h. unabhängig und frei. 2) die Güter, welche die große Menge preist, ea quae vulgo habentur bona. 3) s. §. 66, Anm. 3. 4) in Sachen des Kriegs, d. h. im Kriege. 5) die weiblichen Geburten.

§. 119. Πᾶσι τοῖς μέλλουσι τελευτᾶν ἐμπίπτει μεταμέλεια, μεμνημένοις ὡς ἐν τῷ βίῳ ἠδικήκασι, καὶ ὁρμὴ[1] τοῦ βούλεσθαι, πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς[2]. — Ὁ Ἀθηναίων δῆμος τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα ἔχαιρε, τοῖς δὲ σκώπτουσιν ἥκιστα ἐδυσχέραινεν. — Ἐν τῇ Κύπρῳ νήσῳ πόλεις ἦσαν ἀξιόλογοι μὲν ἐννέα, ὑπὸ δὲ ταύτας ὑπῆρχε[3] τεταγμένα μικρὰ πολίσματα. — Τὸν Πύλιον Νέστορα διὰ γνώμην καὶ γῆρας τῶν συμπάντων ἡρώων[4] προὐτίμα Ἀγαμέμνων, ὁ τοῦ πολέμου στρατηγός. — Λέγουσι τινες, ὅτι κοσμήσας ἑαυτὸν

Κροῖσος ὁ Λυδὸς παντοδαπῶς καὶ καθίσας ἐπὶ τὸν θρόνον, ἠρώτησε τὸν Σόλωνα, εἴ[5] *τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ*[6] *'ἀλεκτρυόνας' εἶπε 'καὶ φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ*[7] *καλλίονι.'*

§. 119. 1) ὁρμὴ τοῦ βουλ. der Wunsch; man ergänze ἐμπίπτει 2) statt ἐπ' αὐτῶν; s. Buttm. §. 134, 4. 3) befanden sich (ὑπὸ ταύτας hängt von τεταγμένα ab). 4) Der Gen. hängt von προὐτίμα ab, welchem Verbum ein Comparativbegriff (höher schätzen) zu Grunde liegt. 5) ob. 6) s. §. 93, Anm. 4. 7) Die Dative μυρίῳ und καλλίονι sind verschieden; letzterer ist Dat. instrument. und gehört zu ἄνθει, μυρίῳ Dativ des Maßes: unzählige Male, tausendmal schöner.

§. 120. Σύλλας, ὁ εὐτυχὴς[1] ἀναγορευθείς, τῶν μεγίστων εὐτυχιῶν[2] ἐποιεῖτο δύο, τὴν Μετέλλου τοῦ Πίου φιλίαν καὶ τὸ μὴ κατασκάψαι Ἀθήνας, ἀλλὰ φείσασθαι[3] τῆς πόλεως. — Φίλιππος ὁ Μακεδόνων βασιλεύς, πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων[4] αὐτῷ, 'ὦ Τύχη', εἶπε 'μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.' — Ξενοκράτει χρημάτων κομισθέντων[4] ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, 'ἀπαγγείλατε' ἔφη[5] 'Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων'· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

§. 120. 1) Der Artikel gehört zum Particip, εὐτυχής ist Prädicat: Sulla, qui felix cognominatus est. 2) rechnete unter seine größten Glücksfälle rc. 3) φείδομαι. 4) s. §. 67, Anm 1. 5) φημί.

§. 121. Ἄρτεμις λέγεται εὑρεῖν[1] τὴν τῶν νηπίων παίδων θεραπείαν καὶ τροφάς τινας ἁρμαζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας κουροτρόφος ὠνομάζετο. — Σωκράτης παρῄνει φυλάττεσθαι ἐκεῖνα[2] τῶν βρωμάτων, ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων[3], ὅσα πίνειν[4] μὴ διψῶντας. — Σίδην τὴν Ὠρίωνος γυναῖκα ἡ Ἥρα ἔρριψεν ἐς Ἅιδου, περὶ μορφῆς ἐρίσασαν[5]. — Ἑρμῆς, ἔτι βρέφος ὤν, Ἄρεος ἐξείλκυσε λαθὼν[6] ἐκ τοῦ κολεοῦ τὸ ξίφος. — Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἐπιφανεστάτας πράξεις τῶν πρὸ αὐτοῦ[7] κατειργασμένος, ἔκτισε πόλιν μεγάλην καὶ εὖ τετειχισμένην καὶ ἐκάλεσεν ἀφ' ἑαυτοῦ Νῖνον.

§. 121. 1) Inf. Aor. 2 von εὑρίσκω. 2) vor jenen Speisen. 3) man ergänze ἐκεῖνα. 4) scil. ἀναπείθει. 5) nemlich mit ihr. 6) heimlich, von λανθάνω. 7) s. §. 114, 4. Der Gen. τῶν hängt von ἐπιφανεστάτας ab.

§. 122. Τοὺς Ἡρακλέους παῖδας, ἀπεστερημένους ὑπὸ τῶν

Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον Ἀθηναῖοι, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειραθέντας τοῖς Ἡρακλέους ἐκγόνοις. — Κρέων μετὰ τὸν θάνατον τῶν Οἰδίποδος παίδων, Ἐτεοκλέους καὶ Πολυνείκους, τὴν Θηβαίων βασιλείαν παραλαβών[1], τῶν Ἀργείων[2] τῶν μετὰ Πολυνείκους ἐπὶ Θήβας στρατευσαμένων τοὺς νεκροὺς ἔρριψεν ἀτάφους, καὶ ἐκήρυξε μηδένα θάψαι. Ἀντιγόνη δέ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε· καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτὴ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη[3].

§. 122. 1) Aor. 2 von παραλαμβάνω. 2) Der Gen. hängt von νεκρούς ab. 3) ἐγκρύπτω.

§. 123. Ἅιδης κατηγορίαν Ἀσκληπιοῦ ἐποιήσατο πρὸς Δία, ὡς τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης[1]· ἐλάττους γὰρ ἀεὶ γίγνεσθαι[2] τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ· ὁ δὲ Ζεὺς παροξυνθεὶς ἐκεραύνωσε τὸν Ἀσκληπιὸν καὶ διέφθειρεν. — Εὐθύδημός τις γράμματα πολλὰ συνειλεγμένος[3] ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, ἐκ τούτων ἤδη ἐνόμιζε διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ. — Τυφῶν μετὰ συριγμῶν καὶ βοῆς πέτρας ἡμμένας[4] ἐπὶ τὸν οὐρανὸν ἔβαλλε· πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. — Ὡς Ξέρξῃ[5] πάντα ἡτοίμαστο πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, κήρυκας ἐξέπεμψεν εἰς πάσας τὰς τῆς Ἑλλάδος πόλεις, προστάξας παρὰ τῶν Ἑλλήνων αἰτεῖν ὕδωρ καὶ γῆν[6].

§. 123. 1) ὡς — ταπεινουμένης, weil (daß) seine Herrschaft beeinträchtigt werde. 2) Der Accus. c. Inf. enthält den Beschwerdegrund des Hades indirect angeführt: es würden nemlich ꝛc. 3) συλλέγω. 4) ἅπτω. 5) statt ὑπὸ Ξέρξου; s. Buttm §. 134, 4. 6) Wasser und Erde waren als die Elemente eines Landes das Zeichen der Unterwerfung.

§. 124. Λακωνικὴ γυνὴ ἀκούσασα τὸν ἑαυτῆς υἱὸν σεσωσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ· Κακὴ φήμη σου κατακέχυται[1]· σὺ οὖν ἢ ταύτην ἀπότριψαι ἢ μηδ' ἡμῖν φανῇς. — Οἱ ποιηταί φασι[2] τὰς Δαναΐδας ἐν Ἅιδου[3] κολάζεσθαι διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν, ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ· ὅθεν καὶ παροιμίαν[4] ἐπὶ τῶν ἀνήνυτα μοχθούντων 'εἰς τετρυπημένον πίθον ἀντλεῖν' λέγομεν. — Σαλμωνεὺς ἐν Ἤλιδι πόλιν ἔκτισεν· ὑβριστὴς δὲ ὢν

καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ τὴν ἀσέβειαν ἐκολάσθη. Ἔλεγε γὰρ εἶναι Ζεὺς[5] καὶ ἑαυτῷ προσέτασσε θύειν· καὶ βύρσας μὲν ἐξηραμμένας[6] ἐξ[7] ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

§. 124. 1) καταχέω. 2) φημί, mit folgendem Accus. c. Inf. 3) s. §. 9, 7. 4) als Sprüchwort, sprüchwörtlich. 5) über den Nominat. c. Inf. s. Buttm. §. 141, 3. 6) ξηραίνω. 7) an einem Wagen (aufgehängt, befestigt).

§. 125. Οὐδεὶς ἄνθρωπος ὢν ἀλύπως τὸν βίον διήγαγεν, οὐδὲ πάλιν[1] μέχρι τοῦ τέλους εὐτυχῶν ἔμεινεν. — Ζάλευκος ὁ νομοθέτης τάδε ἔγραψεν ἐν τοῖς νόμοις· ὧδε ἡμῖν[2] παρηγγέλθω πᾶσι τοῖς πολίταις καὶ πάσαις ταῖς πολίτισι, μεμνῆσθαι, ὅτι εἰσὶ θεοὶ καὶ δίκας ἐπιπέμπουσι τοῖς ἀδίκοις. — Περσεὺς ἐκαρατόμησε τὴν Γοργόνα Μέδουσαν, ἀπεστραμμένος[3] καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν. — Οἱ Ὀδυσσέως ἑταῖροι παρέπλευσαν παρὰ τὰς Σειρῆνας, δεδεμένοι τὰς χεῖρας[4] καὶ τὰ ὦτα κηρῷ φραξάμενοι. — Οἱ Καρχηδόνιοι τὴν ἐπὶ Ἱμέρᾳ ναυμαχίαν[5] παρ' ἐλπίδας ἡττηθέντες ὑπὸ Συρακουσίων, ἐπὶ τοσοῦτο κατεπλάγησαν[6], ὥστε τὰς νύκτας ἅπαντες διηγρύπνουν φυλάττοντες τὴν πόλιν, ἡγούμενοι τὸν Γέλωνα πάσῃ τῇ δυνάμει παραχρῆμα πλεύσεσθαι ἐπὶ τὴν Καρχηδόνα.

§. 125. 1) man ergänze οὐδείς: und keiner hinwiederum. 2) für ὑφ' ἡμῶν. 3) ἀποστρέφω. 4) an den Händen. 5) in der Seeschlacht. 6) καταπλήττω.

§. 126. Ἰκάριος ἔλαβε[1] παρὰ Διονύσου κλῆμα ἀμπέλου· καὶ τὰ[2] περὶ οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ χάριτας δωρήσασθαι θέλων ἀνθρώποις ἀφικνεῖται[3] πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν· μεθ' ἡμέραν[4] δὲ νοήσαντες[5] ἔθαψαν αὐτὸν καὶ μεγάλως κατωδύραντο. — Δαρεῖος τῆς Ἀσίας σχεδὸν ὅλης κυριεύσας τὴν Εὐρώπην ἐπεθύμει καταστρέψασθαι. Τῷ γὰρ μεγέθει τῆς Περσικῆς δυνάμεως πεποιθὼς περιελάμβανε ταῖς ἐλπίσι πᾶσαν τὴν οἰκουμένην, αἰσχρὸν εἶναι νομίζων, τοὺς μὲν πρὸ αὐτοῦ βεβασιλευκότας, καταδεεστέρας ἀφορμὰς κτησαμένους[6],

τὰ μέγιστα τῶν ἐθνῶν καταπεπολεμηκέναι, αὐτὸν[7] *δὲ τηλικαύτας ἔχοντα δυνάμεις, ἡλίκας οὐδεὶς τῶν πρὸ αὐτοῦ*[8] *εἶχε, μηδεμίαν ἀξιόλογον πρᾶξιν κατειργάσθαι.*

§. 126. 1) Aorist von *λαμβάνω*. 2) was gehört zur Weinbereitung. 3) Praesens historicum. 4) Tags darauf. 5) neml. daß sie nicht vergiftet waren. 6) man löse das Partic. mit obwohl auf. 7) er selbst. 8) s. §. 114, 4.

§. 127. *Ἐπεὶ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες τῆς Ἑλλάδος παρεγένοντο*[1]*, Τυνδάρεως, ὁρῶν αὐτῶν τὸ πλῆθος, ἐδεδοίκει*[2]*, μὴ προκριθέντος*[3] *ἑνὸς*[3] *στασιάσωσιν οἱ ἄλλοι. Ἐξώρκισεν οὖν πάντας τοὺς μνηστῆρας βοηθήσειν*[4]*, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπ' ἄλλου τινὸς ἀδικηθῇ περὶ τὸν γάμον. Ταῦτα δὲ ποιήσας Μενέλεων αἱρεῖται νυμφίον. — Τίμων ὁ Ἀθηναῖος πολλοὺς Ἀθηναίων εἰς ὕψος ἄρας*[5] *καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας καὶ πᾶσι τοῖς δεομένοις*[6] *ἐπικουρήσας, μᾶλλον*[7] *δὲ ἀθρόον εἰς εὐεργεσίαν τῶν φίλων ἐκχέας*[8] *τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγένετο, οὐκέτι ἐγνωρίζετο ὑπὸ τῶν πρότερον*[9] *φίλων. — Μήδεια, μέλλουσα φυγαδεύεσθαι ὑπὸ Κρέοντος τοῦ Κορινθίων βασιλέως ἐκ Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι*[10] *καὶ τυχοῦσα*[11]*, μισθὸν τῆς χάριτος δῶρα ἔπεμψε τῇ Γλαύκῃ πέπλον μεμαγευμένον φαρμάκῳ καὶ χρυσοῦν στέφανον· οἷς ἐκείνη χρησαμένη*[12] *πυρὶ κατεφλέγη, καὶ ὁ Κρέων δὲ*[13] *περιπλακεὶς*[14] *διεφθάρη.*

§. 127. 1) sich eingefunden hatten, von *παραγίγνομαι*. 2) von *δεῖσαι*. Nach den Verba des Fürchtens steht im Transitivsatze *μή*, wie im Lat. ne. 3) wenn einer den Vorzug erhielte. 4) daß sie bereit seien zu helfen. 5) *αἴρω*. 6) allen Bedürftigen. 7) *μᾶλλον δέ*, oder vielmehr, vel potius. Das folgende *ἀθρόον* ist Prädicat. 8) s. Buttm. §. 96, A. 1; Englm. §. 171. 9) über das Adverb s. §. 76, A. 3. 10) bleiben zu dürfen. 11) von *τυγχάνω*, und als sie es erlangt hatte, nemlich zu bleiben. 12) gebrauchen ist hier so viel als anlegen. 13) *καὶ — δέ*, und — auch. 14) scil. *τῇ Γλαύκῃ*, seiner Tochter.

§. 128. *Ζώπυρος ὁ Μεγαβύζου, ἀνὴρ Πέρσης, ἀποτεμὼν ἑαυτῷ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἑαυτὸν ηὐτομόλησε*[1] *πρὸς Βαβυλωνίους ὑπὸ Δαρείου πολιορκουμένους. Οἱ δὲ Βαβυλώνιοι, ὁρῶντες ἄνδρα τῶν Περσῶν δοκιμώτατον*[2] *ῥινός τε καὶ ὤτων ἐστερημένον καὶ μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, ἐλπίσαντες σφίσιν ἥκειν*[3] *σύμμαχον ἐπετράποντο αὐτῷ τὴν στρατιάν. — Ἀλεξάνδρου*

τοῦ Μακεδόνος ἑκατὸν τάλαντα χρυσίου Φωκίωνι τῷ Ἀθηναίῳ πεπομφότος[4], *ἠρώτησεν οὗτος τοὺς κομίσαντας*[5], *τί δήποτε, πολλῶν Ἀθηναίων ὄντων*[6], *αὐτῷ μόνῳ Ἀλέξανδρος πέπομφεν. Εἰπόντων*[7] *δέ, ὅτι*[8] *ἡγεῖταί σε καλὸν καὶ ἀγαθόν, ‘οὐκοῦν’ ἔφη ‘ἐασάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτον’. Καὶ ταῦτα τοῖς κομίσασιν εἰπὼν ἀπεπέμψατο μὲν τὰ χρήματα, Ἀλεξάνδρῳ δὲ ἔγραψεν, εἰ βούλοιτο αὐτῷ χαρίσασθαι, ἀπολῦσαι*[9] *τοὺς ἐν Σάρδεσιν αἰχμαλώτους, ὅπερ ἐκεῖνος πεποίηκεν.*

§. 128. 1) *αὐτομολέω*. 2) einen der angesehensten Perser. 3) *ἥκω* hat im Präsens die Bedeutung eines Präteriti. 4) *πέμπω* (Gen. absol.). 5) die Ueberbringer. 6) da doch der Athener viele seien. 7) als nun diese sagten. 8) weil. 9) so solle er frei lassen.

XIX.

II. Verba auf *μι*.

§. 129. *Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά. — Ἀλκυών, θαλαττία τις ὄρνις, γοώδη τὸν ἦχον ἀφίησιν. — Ὡς ἐπίπαν τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίρροια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησιν. — Ἀπόλλωνι ἀνατιθέασι*[1] *τὴν εὕρεσιν τῆς δάφνης καὶ καθιεροῦσιν αὐτὴν τούτῳ τῷ θεῷ. — Οἱ συγγραφεῖς ἐπιδεικνύασι τὰ τῶν παλαιῶν ἀνδρῶν ἔργα καὶ πράξεις θαυμαστὰς καὶ λόγους. — Πυθαγόρας παρήγγελλε τοῖς μανθάνουσι σπανίως ὀμνύναι. — Τῶν ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει*[2]· *ἀβεβαιότατον γὰρ ὧν*[3] *κεκτήμεθα. — Τοὺς χαλεποὺς κύνας τὰς μὲν ἡμέρας*[4] *διδέασι*[5], *τὰς δὲ νύκτας ἀφιᾶσιν.*

§. 129. 1) schreibt man zu. 2) s. über die Imperativform Buttm. §. 107, im Paradigma Anm. I, 5; Englm. §. 189, 1, Anm. 3) von dem was, Attraction statt *τούτων ἅ*. 4) den Tag über, während der Tageszeiten. 5) bindet man.

§. 130. *Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα. — Ἀφεὶς*[1] *τὰ φανερὰ μὴ δίωκε τἀφανῆ. — Μὴ ἐπὶ μικροῖς σαυτὸν ὀξύθυμον δείκνυ. — Πολλοὶ μᾶλλον πρόθυμοί εἰσι διδόναι πλουσίῳ κακῷ*[2] *ἢ πένητι κἀγαθῷ*[3]. *— Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων. — Σὺν τῷ νόμῳ δεῖ*[4] *τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. — Ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω Ἄρεος ἄγαλμα χρυσοῦν. — Οἱ τῶν μειζόνων ὀρεγόμενοι πολλάκις καὶ ἑαυτοὺς πρὸς αὐτοῖς τοῖς ὑπάρχουσιν*[5] *ἀπολλύασιν.*

§. 130. 1) *ἀφίημι.* 2) der schlecht ist. 3) *καὶ ἀγαθῷ.* 4) s. §. 32, Anm. 4. 5) nebst ihren gegenwärtigen Glücksgütern.

§. 131. *Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς*[1] *ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. — Τὴν σιγήν σου συγχώρησιν θήσω*[2]. *— Ὁ λόγος, φησὶ Σωκράτης, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα. — Κάτων γέροντι πονηρευομένῳ ἔφη· ʻτί*[3], *ἄνθρωπε, τῷ γήρᾳ πολλὰ κακὰ ἔχοντι την ἐκ τῆς πονηρίας*[4] *αἰσχύνην προστίθης;ʼ — Οἱ θεοὶ Τιθωνὸν πολυετῆ καὶ μακρόβιον ἔθεσαν. — Προμηθεὺς Δία παρελογίσατο, ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ παραθεὶς αὐτῷ κεκαλυμμένα τῇ πιμελῇ*[5]. *— Ζεὺς Σαρπηδόνι τῷ Λυκίων βασιλεῖ ἔδωκεν ἐπὶ τρεῖς γενεὰς ζῆν.*

§. 131. 1) das ihr gegen uns hegt. 2) werde ich setzen, d. i. annehmen, halten für ꝛc. 3) warum? wie im Lat. quid? 4) die kommt (hervorgeht) aus der ꝛc. 5) Das Fleisch, das man den Göttern zum Opfer darbrachte, wurde gewöhnlich mit Fett umwickelt und so verbrannt. Daher heißt es hier *τῇ πιμελῇ*: mit dem zu solchem Opfer gehörigen Fett.

§. 132. *Τὸν*[1] *τὴν ἰδίαν οἰκίαν καλῶς οἰκοῦντα καὶ*[2] *τὰ κοινὰ*[3] *τῆς πόλεως παραπλησίως διαθήσειν ἡγοῦμαι. — Σιδὼν ἀποστᾶσα*[4] *Ἀρταξέρξου τοῦ Ὤχου*[5] *καλουμένου, διὰ προδοσίας ὑποχείριος ἐγένετο τοῖς Πέρσαις. — Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. — Τειρεσίας ὁ μάντις τοῖς Θηβαίοις μαντευομένοις εἶπε νικήσειν*[6], *ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδιδῷ. Τοῦτο ἀκούσας ὁ Μενοικεὺς ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξεν. — Μίνως τοῖς Κρησὶ νόμους ἔθηκε, προσποιούμενος παρὰ Διὸς τοῦ πατρὸς λαμβάνειν.*

§. 132. 1) *τόν* gehört zu *οἰκοῦντα*: der, welcher verwaltet. 2) auch. 3) die öffentlichen Angelegenheiten. 4) *ἀφίστημι.* 5) s. §. 120, Anm. 1. 6) sie würden siegen.

§. 133. *Δίκην διδόντων*[1] *οἱ τοὺς νόμους παραβαίνοντες. — Μαρδόνιος ὁ Περσῶν στρατηγὸς, ἐν τῇ Βοιωτίᾳ διατρίβων μετὰ τῶν δυνάμεων, τῶν ἐν τῇ Πελοποννήσῳ πόλεών τινας ἐπειρᾶτο ἀφιστάναι τῆς τῶν Ἑλλήνων συμμαχίας. — Ὀρφεὺς ἐτελεύτησε διασπασθεὶς ὑπὸ Θρᾳκίων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων. — Εἰώθαμεν*[2] *λέγειν ἐπὶ*[3] *τῶν ταχέως τρεχόντων, ὅτι ἵπτανται. — Ἐν Δωδώνῃ, πόλει*

τῆς Ἠπείρου, ἕστατο δρῦς ἱερὰ τοῦ Διός, καὶ ἐν ταύτῃ ἦν τὸ μαντεῖον, γυναικῶν οὐσῶν[4] *προφητίδων. — Καμβύσης οὐκ ἤθελε βίαν προσφέρειν Φοίνιξιν, ὅτι ἑκόντες ἑαυτοὺς ἐδεδώκεσαν Πέρσαις καὶ πᾶν τὸ ναυτικὸν ἐκ Φοινίκων ἤρτητο.*

§. 133. 1) kann *διδόντων* Particip sein? 2) *ἔθω*. 3) von. 4) *εἰμί*. Das Particip ist mit indem aufzulösen.

§. 134. *Οὐδὲν μᾶλλον δύναται εὐδαίμονα βίον παρασκευάσαι τῆς εὐνομίας καὶ δίκης καὶ εἰρήνης. — Τὴν παρὰ θεοῦ διδομένην τύχην ἀνθρωπίνως φέρε. — Δίκαιος ἔρως ἀκορέστως ἐφίεσθαι τῶν καλῶν. — Πολλοῖς ὁ ἐν γήρᾳ βίος δύσκολος καταφαίνεται διὰ τὴν τῶν αἰσθήσεων στέρησιν, κατ' ὀλίγον ἀποσβεννυμένων. — Τοὺς εὖ παθόντας*[1]*, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι μὴ ἀποδιδῶσιν, ἀχαρίστους καλοῦμεν. — Οἱ Σπαρτιᾶται πάντα τὰ κατὰ τὸν βίον ἀγαθὰ δεύτερα ἐτίθεντο τῆς δόξης. — Περίανδρος ἐρωτηθείς, διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχήν, εἶπεν· 'ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι καὶ τὸ ἑκουσίως ἀποστῆναι*[2] *κίνδυνον φέρει.'*

§. 134. 1) die, welche Wohlthaten empfangen haben. 2) von *ἀφίστημι*, zum Infin. ist zu ergänzen: *τῆς ἀρχῆς*.

§. 135. *Λύσανδρος, ἀνὴρ ἐντιμότατος τῶν Σπαρτιατῶν, τὰς θυγατέρας οὐκ ἐδύνατο ἐκδόσθαι προῖκα δούς. — Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθείς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, 'οὐχ ἕστηκε γάρ' εἶπεν. — Ταῖς Χάρισιν ἡ τῆς ὄψεως κόσμησις ἐδόθη. — Ἡρακλῆς τὴν δορὰν τοῦ ἐν Νεμέᾳ λέοντος περιέθετο. — Τῶν Ἑλληνικῶν πόλεων ἡ Ἀθηναίων πρώτη νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο. — Μετὰ τὰ Μηδικὰ Ἀθηναῖοι διὰ τὸ βάρος τῆς πόλεως φρονήματος ἐνεπίμπλαντο*[1] *καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ὠρέχθησαν*[2]*. — Κροῖσος ἔπεμψεν ἀγγέλους εἰς Δελφοὺς καὶ ἐπηρώτησε τὸ χρηστήριον, εἰ στρατεύηται*[3] *ἐπὶ Πέρσας καὶ εἴ τινας ἄνδρας προσθῆται συμμάχους.*

§. 135. 1) *ἐμπίμπλημι*. 2) *ὀρέγομαι*. 3) ob er zu Felde ziehn solle.

§. 136. *Τὸ μέσον κατάστημα ἄριστον εἶναι ἅπαντές φαμεν. — Ἔνθα ἂν ἡμᾶς οἱ πόδες φέρωσιν, ἐκεῖσε ἄπιμεν. — Ἀξιοῦμεν διὰ τῆς Στωϊκῆς φιλοσοφίας εἰς τὴν ἀρετὴν εἰσιέναι. — Ὅμηρός φησιν· οὐκ ἀγαθὸν*[1] *πολυκοιρανία, εἷς κοίρανος ἔστω. — Ἐπιόντων*[2] *Περσῶν Λακεδαιμόνιοι ἐβουλεύοντο τειχίσαι*

τὴν Σπάρτην. — Σοφοκλῆς φησιν· 'οὐδέν ἐσμεν οἱ ἄνθρωποι πλὴν εἴδωλα.' — Ὅμηρος οὔτε τὴν Ἀσσυρίων οὔτε τὴν Μήδων ἀρχὴν ᾔδει[3]. — Τῶν φιλοσόφων ἔργον ἐστὶν εἰδέναι, τίνα μὲν βλαβερά, τίνα δὲ ὠφέλιμα ἀνθρώποις. — Διόνυσος ἐπιὼν σχεδὸν ὅλην τὴν οἰκουμένην, πολλὴν χώραν ἐξημέρωσεν.

§. 136. 1) οὐκ ἀγαθόν, nichts Gutes. 2) ἔπειμι, Gen. absol. 3) οἶδα.

§. 137. Οὐδὲν γλυκύτερόν ἐστιν ἢ πάντ' εἰδέναι. — Ὅσιόν[1] ἐστι τὸν ἐπιόντα πολέμιον ἀμύνεσθαι. — Δύσμορφος εἴην[2] μᾶλλον ἢ κακηλόγος. — Ἴσμεν, ὡς οἱ Λακεδαιμονίων βασιλεῖς Ἡρακλέους ἔκγονοι ἦσαν. — Χρημάτων[3] οὐκ ἂν πρίαιο[4] ἀρετὴν καὶ γενναιότητα. — Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής. — Ὁ μὲν τὸ ὅλον εἰδὼς εἰδείη ἂν καὶ τὸ μέρος· οἱ δὲ μόνον τὸ μέρος εἰδότες οὐκέτι καὶ[5] ἴσασι τὸ ὅλον. — Εὐτυχῶν[6] μὲν μὴ ἴσθι ὑπερήφανος, ἀπορῶν δὲ μὴ ταπεινοῦ. — Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν. — Εἰ καὶ μαρτύρεται ἡ Τύχη παίζειν τὰ τῶν ἀνθρώπων πράγματα καὶ ὁμολογεῖ μηδὲν αὐτῶν εἶναι βέβαιον, ὅμως οἱ πολλοὶ ὀρέγονται πλούτου καὶ περιίασι μεστοὶ οὐ γιγνομένων[7] ἐλπίδων.

§. 137. 1) Das lat. fas est. 2) Optativ des Wunsches. 3) für Geld. 4) s. §. 69, Anm. 2. 5) οὐκέτι καί, nicht auch, nicht sofort (non continuo). 6) wenn du glücklich bist, rebus secundis. 7) von nicht sich erfüllenden Hoffnungen.

§. 138. Βίας παρούσης οὐδὲν ἰσχύει νόμος. — Μέμνησο νέος ὤν, ὡς γέρων ἔσῃ ποτέ. — Ὁ ἐλέφας καθεύδει ὀρθοστάδην· κατακλιθῆναι γὰρ καὶ ἐξαναστῆναι ἐργῶδες αὐτῷ. — Κούφως φέρειν δεῖ τὰς παρεστώσας[1] τύχας. — Ὅμηρον ἐπαινοῦμεν, ὅτι οἰκείους λόγους περιτέθεικεν ἑκάστῳ τῶν εἰσαγομένων προσώπων. — Οὐκ ἐπ' ἐργασίᾳ καὶ χρηματισμῷ προσιτέον[2] τοῖς κοινοῖς. — Οἱ δράκοντες καὶ αἱ γλαῦκες ἀνέκειντο τῇ Ἀθηνᾷ, γλαυκώπιδι οὔσῃ[3]. — Μηδένα καιρόν, ὦ νεανίσκοι, παρίετε, εἰδότες[4] ἀληθὲς ὂν[5], ὃ λέγει ὁ Κῷος ἰατρός[6], ὡς ἄρα βραχὺς μὲν ὁ βίος, μακρὰ δὲ ἡ τέχνη. — Πίνδαρος ὁ ποιητὴς ἐρωτηθείς, διὰ τί μέλη γράφων[7] ᾄδειν οὐκ ἐπίσταται· 'καὶ γὰρ οἱ ναυπηγοὶ' ἔφη 'πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ ἴσασι.'

§. 138. 1) παρίστημι, s. Buttm. §. 107, A. II, 3; Englm. §. 191, A. 1. 2) πρόσειμι. 3) weil sie war. 4) wissend, d. i. bedenkend. 5) daß wahr ist. 6) d. i. Hippokrates. 7) da er doch schreibe.

§. 139. *Μίνως ἐν Ἅιδου ἐπὶ θρόνου τινὸς ὑψηλοῦ ἐκάθητο· παρειστήκεσαν*[1] *δὲ αὐτῷ Ποιναὶ καὶ Ἀλάστορες καὶ Ἐριννύες. — Ἐπειδὴ Τειρεσίας ὑπ' Ἀθηνᾶς ἐτυφλώθη, Χαρικλὼ ἐδεῖτο αὐτῆς ἀποκαταστῆσαι αὐτῷ πάλιν τὰς ὁράσεις· οὐ δυναμένη δὲ τοῦτο ποιῆσαι, τὰς ἀκοὰς διακαθήρασα*[2] *πᾶσαν ὀρνίθων φωνὴν ἐποίησε συνιέναι καὶ σκῆπτρον αὐτῷ ἔδωκεν, ὃ φέρων ὁμοίως τοῖς βλέπουσιν*[3] *ἐβάδιζεν. — Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἐρωτηθείς, οὕστινας μάλιστα φιλεῖ καὶ οὕστινας μάλιστα μισεῖ· 'τοὺς μέλλοντας' ἔφη 'προδιδόναι μάλιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ'.*

§. 139. 1) παρίστημι. 2) διακαθαίρω. 3) eben so wie die Sehenden.

§. 140. *Μέγισται δυνάμεις τῶν εἰς ἱστορικὴν μνήμην παραδεδομένων αἱ μετὰ Ξέρξου γενόμεναι*[1] *παραδέδονται. — Ἡρακλῆς χειρωσάμενος τὸν Κιθαιρώνειον λέοντα τὴν μὲν δορὰν ἠμφιέσατο*[2]*, τῷ δὲ χάσματι ἐχρήσατο κόρυθι*[3]*. — Ἐριχθόνιος βασιλεύων Ἀθηνῶν τὸ ἐν τῇ ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο. Ὕστερον δὲ ἐν*[4] *τοῖς ἄστροις τεθεὶς ὁ*[5] *ἡνίοχος ἐγένετο, ὅτι πρῶτος ἵππους ἔζευξεν*[6]*. — Πίττακος ὁ Μυτιληναίων τύραννος τὸν ποιητὴν Ἀλκαῖον, διὰ τῶν ποιημάτων πικρότατα*[7] *αὐτὸν λελοιδορηκότα, λαβὼν*[8] *ὑποχείριον ἀφῆκεν*[9]*, ἐπιφθεγξάμενος 'ὡς συγγνώμη τιμωρίας αἱρετωτέρα'.*

§. 140. 1) die Streitkräfte, die X. gehabt hat. 2) ἀμφιέννυμι. 3) als Helm; vergl. §. 66, 6. 4) unter die Zahl. 5) Der Artikel steht beim Prädicat, weil von einer bekannten Sache die Rede ist: er wurde das Sternbild, der Fuhrmann. 6) Aor. von ζεύγνυμι. Der Aorist ist im Deutschen durch das Plusquamperf. zu geben. 7) Superl. des Adverbs. 8) λαμβάνω. 9) ἀφίημι.

§. 141. *Κῦρος αἰδοῦς ἐνεπίμπλατο*[1]*, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις. — Ἀναγκαῖόν ἐστιν ἑκάστῃ τῇ πόλει ἔχειν τὸν*[2] *προνοούμενον αὐτῆς, καὶ τοῦτον*[3] *μάλιστα σπουδαῖον· ἄνευ γὰρ τούτου οὐκ ἂν δύναιτο συστῆναι. — Χαλεπόν ἐστι πολλῶν προτεθέντων*[4] *αἱρεῖσθαι τὸ ἄριστον. — Οὐδὲν παρ' ἀνθρώποις οὔτε κακὸν οὔτε ἀγαθὸν ἑστηκυῖαν ἔχει τὴν τάξιν, τῆς τύχης ὥσπερ ἐπίτηδες πάντα μετακινούσης. — Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστη φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζοιντο καὶ λαμβάνοιεν, εἴ*

τινος δέοιντο τῶν[5] ἐν τοῖς χωρίοις. Ἐποίει δὲ καὶ τοῦτο[6] πολλάκις· ὁπότε τῶν πολιτῶν τινα ἴδοι[7] κακῶς ἠμφιεσμένον, ἐκέλευεν[8] αὐτῷ μεταμφιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακολουθούντων αὐτῷ.

§. 141. 1) ἐμπίμπλημι. 2) einen solchen, welcher. 3) das lateinische eumque, und zwar. 4) man verwechsle nicht die Form προτεθέντων mit der ähnlichen προτιθέντων. 5) von dem, was sich befand. 6) auch dieses, nemlich was jetzt folgt. 7 Aor. Opt. von ὁράω (εἶδον). 8) man construiere: ἐκέλευέ τινα τῶν αὐτῷ (dem Simon) συνακολουθούντων νεανίσκων αὐτῷ (mit dem schlecht gekleideten Bürger) μεταμφιέννυσθαι.

§. 142. Τίς οὐκ ἂν θαυμάσειε[1] τὰς ἀρετὰς τῶν μετὰ Λεωνίδου[2] Σπαρτιατῶν, οἵτινες μιᾷ γνώμῃ χρησάμενοι τὴν μὲν ἀφωρισμένην τάξιν ὑπὸ τῆς Ἑλλάδος[3] οὐκ ἔλιπον, τὸν ἑαυτῶν δὲ βίον προθύμως ἐπέδοσαν εἰς τὴν κοινὴν τῶν Ἑλλήνων σωτηρίαν; — Ὁ μὲν τὸ σῶμα[4] κακῶς διατεθειμένος ἰατροῦ δεῖται, ὁ δὲ τὴν ψυχὴν[5] φίλου· εὔνους γὰρ φίλος λύπην ἐπίσταται θεραπεύειν. — Ἄργος ὁ Ἀγήνορος, ὑπερβάλλων δυνάμει, ταῦρον τὴν Ἀρκαδίαν λυμαινόμενον ἀποκτείνας τὴν τούτου δορὰν ἠμφιέσατο. — Μήδεια Ἰάσονι φάρμακον ἔδωκεν, ᾧ[6] ζευγνύναι μέλλοντα[7] τοὺς χαλκόποδας ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ σῶμα. — Ἅιδου προὔκειτο ἡ Ἀχερουσία λίμνη, πρώτη[8] δεχομένη τοὺς ἀπαντῶντας, ἣν οὐκ ἦν[9] διαπλεῦσαι ἄνευ τοῦ πορθμέως·[10] ὅθεν ἐτίθεσαν Ἕλληνες ἐν τῷ στόματι τῶν ἀποτεθνηκότων[11] ὀβολὸν, ναῦλον Χάρωνος.

§. 142. 1) Ueber die Bedeutung des Optat. s. §. 69, 2. 2) s. §. 8, 4, 3) ὑπὸ τ. Ἑ. hängt von ἀφωρισμένην ab. 4) was den Körper betrifft, am Körper. 5) man ergänze: κακῶς διατεθειμένος. 6) ᾧ womit, hängt von χρῖσαι ab. 7) dem Jason wurde nemlich von Aeëtes, als er das goldene Vließ begehrte, die Bedingung auferlegt, die erzfüßigen, feuerschnaubenden Stiere anzuschirren, die dieser von Hephästos zum Geschenk erhalten hatte. 8) zuerst. 9) ἔστι hat mit Infin. die Bedeutung: es ist möglich, es geht an, s. Buttm. §. 150, 23. 10) der Charon hieß. 11) Perf. von ἀποθνήσκω.

§. 143. Κῦρος ὁ νεώτερος τὴν ἑαυτοῦ δύναμιν ἀθροίσας εἰς Σάρδεις, Λυδίας μὲν καὶ Φρυγίας κατέστησεν ἐπιμελητὰς Πέρσας ἑαυτοῦ συγγενεῖς, Ἰωνίας δὲ καὶ τῆς Αἰολίδος Ταμώ, φίλον ὄντα πιστόν· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως προῆγεν ὡς ἐπὶ[1] τῆς Κιλικίας καὶ Πισιδίας, διαδιδοὺς λόγον, ὅτι τινὲς τῶν ἐκεῖ κατοικούντων ἀφεστήκασιν. — Κῦρος ὁ Περσῶν βασιλεὺς, ἐπὶ τέρματι ὢν τοῦ βίου, πρὸς τοὺς παῖδας ἔφη· 'τὸ ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ

θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μηδενί[2], *ἀλλ' ὡς τάχιστα*[3] *τῇ γῇ ἀπόδοτε. Τί γὰρ μακαριώτερον ἢ τὸ γῇ μιχθῆναι*[4], *ἣ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ φύει καὶ τρέφει; Ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἂν μοι δοκῶ*[5] *κοινωνῆσαι τοῦ εὐεργετοῦντος*[6] *ἀνθρώπους'.*

§. 143. 1) wie nach Sicilien, d. h. als gienge der Zug nach S. 2) noch sonst in etwas; s. Buttm. §. 148, 6. 3) so schnell als möglich, quam primum. 4) *μίγνυμι.* 5) *μοι δοκῶ*, mihi videor, ich glaube. 6) an dem, was den Menschen Wohlthaten spendet, neml. an der Erde.

XX.

III. Verba anomala.

§. 144. *Ταῦτα ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας, ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ καὶ μὴ ἀνιᾶσθαι τοῖς τεταγμένοις. — Τίς οὕτως ἐστὶ δυστυχὴς, ὅστις πατρίδα ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; — Τίς ἂν ᾠήθη*[1] *ταῦτα γενέσθαι; — Ὁ σίδηρος ἐπὶ κακῷ τῶν ἀνθρώπων εὕρηται. — Δὶς ἐξαμαρτεῖν ταὐτὸν*[2] *οὐκ ἀνδρὸς σοφοῦ*[3]. *— Ἄφνω μεταβέβλησαι*[4] *καὶ ὅλως ὑπεροπτικῷ τινι ἔοικας. — Εἴ τις τὰς ἐπιφανεστάτας αἱρέσεις τῶν φιλοσόφων ἀκριβῶς ἐξετάζοι, πλεῖστον ὅσον*[5] *εὑρήσει διαφερούσας*[6] *ἀλλήλων. — Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.*

§. 144. 1) hätte geglaubt, von *οἴομαι.* 2) in derselben Sache, d. i. den gleichen Fehler zu begehn. 3) Der Genetiv hängt von dem ausgelassenen *ἐστί* (non est sapientis viri) ab. 4) *μεταβάλλω.* 5) *πλεῖστον ὅσον*, quam maxime, mirum quantum; s. Buttm. §. 150, 8. 6) Particip aufzulösen durch einen Satz mit daß.

§. 145. *Οὐδὲν ἐθέλεις εἰπεῖν, ὁποῖον ἄν μοι ἀρέσειεν. — Πάλαι διέγνωσται*[1], *τὰς τῶν βροτῶν τύχας μὴ βεβαίους εἶναι. — Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις, ἐπεὶ*[2] *κεκλήσῃ*[3] *καὶ σὺ παντελῶς ἄφρων. — Ὑπὸ Ἑρμοῦ λέγεται τὰ γράμματα εὑρεθῆναι. — Ξέρξης τὸν Ἑλλήσποντον ἔζευξε καὶ τὸν Ἄθω διέσκαψεν. — Οἱ Λήδας παῖδες Κάστωρ καὶ Πολυδεύκης διὰ τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. — Κροῖσος ἐπὶ Κῦρον μέλλων στρατεύεσθαι ἔπεμψεν εἰς Σπάρτην ἀγγέλους, δεησομένους*[4] *συμμαχίας*[5]. *— Φερεκύδης καὶ Σιμωνίδης φασίν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειεν.*

§. 145. 1) *διαγιγνώσκω.* 2) da, d. i. hier denn. 3) *καλέω.* 4) Das

Partic. Fut. drückt wie im Lat. eine Absicht und Bestimmung aus. 5) ist Genetiv, von δεησομένους abhängig.

§. 146. Ἀνὴρ πονηρὸς ἐξουσίας τυχὼν οὐκ εἴωθε φέρειν τὴν εὐτυχίαν κατ' ἄνθρωπον[1]. — Ἀπόλλων εὑρετὴς γενόμενος τοῦ τόξου ἐδίδαξε τοὺς ἀνθρώπους τὰ[2] περὶ τὴν τοξείαν. — Χίλων ἀφικόμενος εἰς Δελφοὺς ἐπέγραψεν ἐπί τινα κίονα τοῦ νεώ· 'γνῶθι[3] σεαυτόν'. — Τυδεὺς ἐπὶ Θήβας μετ' Ἀδράστου στρατευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν[4]. — Ὁ θεὸς ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ'[5] ἃς οἴσομεν[6] πάσας τὰς τῆς τύχης συμφοράς. — Ὁ ἐπιεικὴς ἀνὴρ τὸ τεθνάναι[7] οὐ δεινὸν ἡγήσεται. — Οὐκ ἔστιν[8] εἰπεῖν ζῶντα[9]· τοῦτ' οὐ πείσομαι[10]. — Διονύσιος ὁ τύραννος ἐκπεσὼν[11] τῆς ἀρχῆς, εἴ τις αὐτὸν ἠνία ἐν Κορίνθῳ διατρίβοντα, ἐπέλεγεν· 'ὡς μακάριοι οἱ ἐκ παίδων[12] δυστυχεῖς'.

§. 146. 1) nach menschlicher Weise, d.i. mit Maß. 2) was gehört zur rc. 3) γιγνώσκω. 4) ἀποθνήσκω. 5) vermöge, mittelst. 6) φέρω. 7) s. Buttm. §. 110, 10; Englm. §. 185. 8) s. §. 142, 9. 9) so lange man lebt. 10) πάσχω. 11) ἐκπίπτω. 12) von Kindheit an, a pueris.

§. 147. Κόνων ὁ Ἀθηναῖος στρατηγῶν βασιλεῖ[1] κατεναυμάχησε Λακεδαιμονίους καὶ τοὺς ἁρμοστὰς ἐξήλασεν ἐκ τῶν νήσων. — Οἱ κακοδαίμονες ὠχροί εἰσιν ὑπὸ φροντίδων καὶ τὸ σῶμα κατεσκληκότες[2]. — Εἰ ἐθελήσειας ἅψασθαι τῆς φιλοσοφίας, ὄψει[3] ἐν βραχεῖ, ὅσον διοίσεις[4] τῶν ἄλλων. — Δίκαια δράσας συμμάχου τεύξῃ[5] θεοῦ. — Ἡ ἐν Δελφοῖς πρόμαντις, ἐπεὶ πίοι τοῦ ἱεροῦ νάματος[6], ἔνθεος εὐθὺς ἐγένετο καὶ ἔχρησε τοῖς προσιοῦσιν. — Οἱ Πελοποννήσιοι τὸν στρατηγὸν Βρασίδαν, ἐπ' Ἀμφιπόλει πεσόντα, ἄραντες ἐκ τῆς μάχης ἔτι ἔμπνουν ἐκόμισαν εἰς τὴν πόλιν. Καὶ αἰσθόμενος, ὅτι νικῶσιν[7] οἱ μετ' αὐτοῦ[8], οὐ πολὺ διαλιπὼν ἐτελεύτησεν.

§. 147. 1) dem Perserkönige; s. Buttm. §. 124, Anm. 7. 2) κατασκέλλω. 3) ὁράω. 4) διαφέρω. 5) τυγχάνω. 6) πίνειν τινός, von etwas trinken. 7) Das Präsens hat hier Perfectbedeutung. 8) seine Leute.

§. 148. Κακοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ[1] κακός. — Τὸ καλὸν δὶς ῥηθὲν[2] οὐδὲν βλάπτει. — Ἀνάλγητος ὁ θάνατος ὁ πρὶν[3] δόξαι[3] συμβάς. — Κατὰ τὸν Πελοποννησιακὸν πόλεμον Μυτιλήνη, πόλις ἐν τῇ νήσῳ Λέσβῳ, ὑπ' Ἀθηναίων ἑάλω[4]. — Τὸ παθεῖν[5] προσδοκᾶν τοῦ πεπονθέναι δεινότερον. — Δημοσθένης εἶπεν ἐν λόγῳ τινί· Τίς οὐκ οἶδεν, ὅτι τοῖς μὲν ζῶσιν

ἅπασιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς δὲ τεθνεῶτας[6] οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς[7] ἔτι μισεῖ; — Σωκράτης ὁ φιλόσοφος, Ἀπολλοδώρου τινὸς γνωρίμου λέγοντος αὐτῷ ʻἀδίκως σου θάνατον κατέγνωσαν Ἀθηναῖοιʼ, γελάσας ἔφη· ʻσὺ δὲ ἐβούλου δικαίως[8]ʼ;

§. 148. 1) ἐκβαίνω. 2) εἰπεῖν. 3) ehe man es erwartet hat. 4) ἁλίσκομαι. 5) πάσχω. Der Artikel gehört zu προσδοκᾶν, wovon παθεῖν abhängt. 6) s. Buttm. §. 110, A. 6, c; Engl. §. 185. 7) οὐδὲ οὐδείς, nicht einmal irgend einer. 8) man ergänze: θάνατον αὐτοὺς καταγνῶναι.

§. 149. Τοῖς συμφορὰς παθοῦσι συναχθεσθησόμεθα. — Εἰ, ἃ τῇ πόλει συμφέρει[1], χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμός εἰμι λέγειν. — Ἁλωτὰ γίγνεται ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα. — Κλαύδιος ὁ Ῥωμαίων αὐτοκράτωρ μύκητας πεφαρμακευμένους φαγὼν[2] ἀπεβίω. — Λέγουσι Δημοσθένην τὸν ῥήτορα, ἔτι νέον ὄντα, εἰς σπήλαιον ἀπιέναι κἀκεῖ[3] φιλολογεῖν[4], τὸ ἥμισυ τῆς κεφαλῆς ξυράμενον, ἵνα μὴ προέρχοιτο[5]. — Λέγονται οἱ Κύκλωπες ἀνθρωποφάγοι εἶναι καὶ τοὺς Ὀδυσσέως ἑταίρους κατεδηδοκέναι[6]. — Ἕλενος παῖς Πριάμου τοῖς Τροίαν πολιορκοῦσιν Ἕλλησιν ἀπεκάλυψεν, ὡς ξυλίνῳ ἵππῳ πεπρωμένον[7] ἐστὶν Ἴλιον ἁλῶναι. — Ἡρακλῆς τὸ δέρμα τοῦ Νεμεαίου λέοντος, ὃν ἀνῃρήκει, ἠμπίσχετο[8].

§. 149. 1) ἃ — συμφέρει hängt von ἀκούειν ab. 2) ἐσθίω. 3) καὶ ἐκεῖ. 4) ist im Deutschen durch ein Präteritum zu übersetzen, wie εἶναι im nächsten Satze. 5) ausgehn (unter die Leute gehen) könne. 6) κατεσθίω. 7) πορεῖν. 8) ἀμπέχω.

§. 150. Αἰγυπτίοις νόμος ἦν οὐδαμῶς θηρίοις νέκυν διδόναι. Καὶ διὰ ταῦτα ἐταρίχευον[1], ἵνα μὴ κείμενος ὑπ' εὐλῶν καταβρωθείη. — Τυφῶν μεμιγμένην εἶχε φύσιν ἀνδρὸς καὶ θηρίου. — Νιόβη ἐπεπήγει καὶ εἰς λίθον μετεβέβλητο. — Διόνυσος ἐφ' ἅρματος ὠχεῖτο, παρδάλεων ὑπεζευγμένων, βοτρύοις ἐστεφανωμένος καὶ μίτρᾳ τὴν κόμην[2] ἀναδεδεμένος. — Ἐς μέσας νύκτας ἀποταθείσης[3] τῆς συνουσίας ἐπεπώκειμεν[4] καὶ ἐδεδειπνήκειμεν πλέον τοῦ ἱκανοῦ. — Σεμίραμις ἡ τῶν Ἀσσυρίων βασίλεια πυθομένη, τὸ τῶν Ἰνδῶν ἔθνος μέγιστον εἶναι καὶ πλείστην τε καὶ καλλίστην χώραν νέμεσθαι, προήχθη μηδὲν προαδικηθεῖσα[5] πρὸς Ἰνδοὺς ἐξενεγκεῖν[6] πόλεμον.

§. 150. 1) scil. τὸν νέκυν. 2) Accus. des näheren Bezugs; s. Buttm. §. 131, 7. 3) ἀποτείνω. 4) πίνω. 5) ohne voraus eine Beleidigung erlitten zu haben. 6) ἐκφέρω.

§. 151. *Οἱ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, οὗτοι δὴ πάντων εἰσὶν οἰκειότατοι. — Οἱ Ἕλληνες ἐν Πλαταιαῖς ὤμοσαν[1] παραδώσειν παίδων παισὶ[2] τὴν πρὸς Πέρσας ἔχθραν, ἕως ἂν[3] οἱ ποταμοὶ ῥέωσιν εἰς τὴν θάλασσαν καὶ γένος ἀνθρώπων ᾖ καὶ γῆ καρποὺς φέρῃ. — Ἡρακλέους ἐξ Ἀλκμήνης γεννηθέντος, ἡ μὲν Ἥρα δύο δράκοντας ἀπέστειλε τοὺς ἀναλώσαντας[4] τὸ βρέφος· ὁ δὲ παῖς οὐ καταπλαγεὶς[5] ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας ἀπέπνιξε τοὺς δράκοντας.*

§. 151. 1) *ὄμνυμι.* 2) *παίδων παῖδες,* die Kindeskinder. 3) *ἕως ἄν,* so lange als. 4) *ἀναλίσκω,* über das Partic. Fut. s. §. 145, Anm. 4. 5) *καταπλήσσω.*

§. 152. *Ὅστις τοὺς τεκόντας[1] ἐν βίῳ σέβει, καὶ ζῶν καὶ ἀποθανὼν φίλος ἐστὶ θεῷ. — Ὡς ἡδὺ[2] συνέσει χρηστότης κεκραμένη[3]. — Γύλιππος ὁ Λακεδαιμόνιος στρατηγὸς, τὰ σακκία τῶν δημοσίων χρημάτων παραλύσας, φυγὰς ἀπηλάθη[4] τῆς Σπάρτης. — Θεόπομπος ὁ ἱστορικός φησι, τὴν Εὐρώπην μηδέποτε ἐνηνοχέναι[5] τοιοῦτον ἄνδρα, οἷον Φίλιππον, τὸν Ἀλεξάνδρου τοῦ μεγάλου πατέρα. — Οὔθ' οἱ τῶν Περσῶν βασιλεῖς οὔθ' οἱ τῶν Μακεδόνων, καίπερ[6] πλεῖστον ἰσχύσαντες, ἐδυνήθησαν τὸ τῶν Ἀράβων ἔθνος καταδουλώσασθαι. — Νάβις ὁ τῶν Λακεδαιμονίων τύραννος πολλὰς τιμωρίας ἐπενόησε πρὸς τοὺς πολίτας, νομίζων τῇ τῆς πατρίδος ταπεινώσει τὴν ἰδίαν δυναστείαν αὐξήσειν.*

§. 152. 1) *τίκτω.* 2) eine wie angenehme Sache ist rc. 3) *κεράννυμι.* 4) *ἀπελαύνω.* 5) *φέρω.* 6) *καίπερ,* obgleich, wird regelmäßig bei den Attikern mit Particip verbunden.

§. 153. *Οὐ μικρόν ἐστιν ἀντισχεῖν ταῖς ἐπιθυμίαις, πάντοθεν ἑλκούσαις καὶ ἀντιλαμβανομέναις. — Ἀρχομένων[1] δεῖ τῶν ἀδικημάτων ἐμφράσσειν τὰς ὁδούς· ὅταν δ' ἅπαξ ῥιζωθῇ κακία καὶ παλαιὰ γένηται καθάπερ σύντροφος ἀρρωστία, χαλεπὸν αὐτὴν κατασβέσαι. — Ἀλέξανδρος ἐνέπρησε[2] τὰ ἐν Περσεπόλει βασίλεια, τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι κἀκεῖνων ἱερὰ καὶ πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν. — Ἐπαμινώνδας ἐρωτηθείς, τί ὀνεῖται[3] ὁ μὴ γήμας; ‘τὸ μὴ ὀκνεῖν’ ἔφη ‘ὑπὲρ τῆς*

πατρίδος ἀποθανεῖν'. — Τῆς Ἀραβίας ἡ ἄνυδρος διειλημμένη[4] ἐστὶ φρέασι κεκρυμμένοις καὶ μόνοις τοῖς ἐγχωρίοις γνωριζομένοις[5].

§. 153. 1) Die Construction ist: *δεῖ ἐμφράσσειν τὰς ὁδοὺς τῶν ἀδικημάτων ἀρχομένων* (so lange sie noch im Beginnen sind). 2) *ἐμπίμπρημι.* 3) *ὀνίνημι.* 4) *διαλαμβάνω.* 5) sind die Dative *ἐγχωρίοις* und *γνωριζομένοις* von derselben Art, oder ist der eine von dem andern regiert?

§. 154. *Πυθαγόρας ὁ φιλόσοφος, παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατῶν καὶ ναῦν οὐριοδρομοῦσαν ἰδών[1], εἶπεν, ὡς μετ' οὐ πολὺ[2] καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ κατέδυ. — Οἱ Χαλδαῖοι τῶν ἀστέρων πολυχρονίους παρατηρήσεις πεποιημένοι καὶ τὰς ἑκάστου κινήσεις τε καὶ δυνάμεις ἀκριβέστατα πάντων ἀνθρώπων ἐπεγνωκότες[3], πολλὰ τῶν μελλόντων συμβήσεσθαι[4] προὔλεγον τοῖς ἀνθρώποις. — Ἀνάχαρσις ὁ Σκύθης ἀφίκετο εἰς τὴν Ἑλλάδα, συνεσόμενος[5] τοῖς βελτίστοις τῶν Ἑλλήνων καὶ ἤθη καὶ πανηγύρεις καὶ βίον αὐτῶν καὶ πολιτείαν καὶ τὰ κάλλιστα τῆς Ἑλλάδος ὀψόμενος[6]. — Μετὰ τὴν ἐν Πλαταιαῖς μάχην οἱ Ἕλληνες ἐκ τῶν λαφύρων τὴν δεκάτην ἐξελόμενοι[7] κατεσκεύασαν χρυσοῦν τρίποδα καὶ ἀνέθεσαν εἰς Δελφούς.*

§. 154. 1) *ὁράω.* 2) *μετ' οὐ πολύ,* nach nicht langer Zeit, in Bälde. 3) *ἐπιγιγνώσκω.* 4) *συμβαίνω.* Vgl. §. 83, Anm. 4. 5) um zu verkehren mit rc. 6) *ὁράω.* 7) *ἐξαιρέω.*

§. 155. *Οἱ ἐν τῇ Αἰγύπτῳ ἱερεῖς ἑαυτοὺς περιρραίνουσιν, οὐ παντὶ ὕδατι, ἀλλ' ἐκείνῳ, ἐξ οὗ πεπιστεύκασιν[1], ὅτι καὶ ἶβις πέπωκεν· ἴσασι γὰρ κάλλιστα[2], ὅτι οὐκ ἂν πίνοι ἡ ὄρνις ἐκείνη ῥυπαροῦ καὶ ἔκ τινων φαρμάκων λελυμασμένου ὕδατος. — Ὅταν δελφὶς δικτύῳ περιπέσῃ[3], τὰ μὲν πρῶτα ἡσυχάζει καὶ φυγῆς οὐδὲν[4] μέμνηται, εὐωχεῖται δὲ[5] τῶν συνεαλωκότων[6] ἰχθύων· ὅταν δὲ ἐπισυρόμενος αἴσθηται, ὅτι γίγνεται τῆς γῆς πλησίον, ἐνταῦθα τὸ δίκτυον διατραγὼν[7] ἀπαλλάττεται[8] καὶ πολλάκις ἐλεύθερος γίγνεται. — Ἐν Πλαταιαῖς πρῶτοι κατήρξαντο τῆς μάχης οἱ βάρβαροι, νυκτὸς[9] ἐκχυθέντες ἐπὶ τοὺς Ἕλληνας καὶ πᾶσι τοῖς ἱππεῦσι πρὸς τὸ στρατόπεδον αὐτῶν ἐπελάσαντες.*

§. 155. 1) Perfect mit verstärkter Präsensbedeutung: sie glauben sicherlich, wissen gewiß. 2) am besten, sehr wohl. 3) *περιπίπτω.* 4) keineswegs. 5) sondern. 6) *συναλίσκομαι.* 7) *διατρώγω.* 8) sucht sich zu entfernen, loszumachen. 9) nächtlicher Weile.

§. 156. *Ὀρφεύς, ἀποθανούσης αὐτῷ Εὐρυδίκης τῆς γυναικός, δηχθείσης[1] ὑπὸ ὄφεως, κατῆλθεν εἰς Ἅιδου, θέλων ἀναγαγεῖν αὐτήν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. Ὁ δὲ ὑπέ-*

σχετο[2] τοῦτο ποιήσειν, ἐὰν μὴ[3] πορευόμενος[4] Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν αὐτοῦ οἰκίαν παραγενέσθαι. Ὁ δὲ ἀπιστῶν[5], ἐπιστραφεὶς ἐθεάσατο τὴν[6] γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψεν. — Κριὸς χρυσόμαλλος τὸν Φρίξον εἰς τὴν Κολχίδα διεπόρθμευσεν, ἐκεῖ δὲ τοῦτον, ὥς φασιν, ἔθυσε Φυξίῳ Διὶ καὶ ἐν Ἄρεος ἄλσει περί τινα δρῦν τὸ δέρμα αὐτοῦ ἀπεκρέμασεν· ἐφύλαττε δὲ τοῦτο δράκων. — Ἐπεὶ Ἀντίπατρος ὁ Μακεδὼν ἠπείλησε πολιορκήσειν Ἀθηναίους, εἰ μὴ τοὺς ῥήτορας[7] ἐκδοίησαν, καταλιπὼν Δημοσθένης τὴν πόλιν ἔφυγε πρῶτον μὲν εἰς Αἴγιναν, ἐπὶ τὸ Αἰάκειον καθεδούμενος, φοβηθεὶς[8] δ' εἰς Καλαυρίαν μετέστη.

§. 156. 1) δάκνω. 2) ὑπισχνέομαι. 3) μή gehört zu ἐπιστραφῇ. 4) auf dem Wege. 5) daß ihm neml. die Eurydice wirklich folge. 6) blickte nach seinem Weibe. 7) die der macedonischen Partei feindselig gesinnt waren, an ihrer Spitze Demosthenes. 8) d. i. da er sich dort nicht sicher genug glaubte.

§. 157. Ἡνίκα Φίλιππος ὁ Μακεδὼν ἐτεθνήκει, Δημοσθένης λαμπρὰν ἐσθῆτα ἠμφιεσμένος προῆλθε, καίπερ τῆς θυγατρὸς αὐτοῦ νεωστὶ τετελευτηκυίας[1], ἐφηδόμενος τῷ τοῦ Μακεδόνος θανάτῳ. — Ἐπεὶ φίλτατος ἦν Τελαμὼν Ἡρακλεῖ, εἰς πολλοὺς ἄθλους συνεμαχέσατο Ἡρακλεῖ. Συνέπλει γὰρ αὐτῷ πρὸς Ἀμαζόνας καὶ τὸν Ἀλκυονέα ἀνεῖλε· στρατευσάμενος δὲ ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ ἔλαβε γέρας Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, ἐξ ἧς ἐγένετο Τεῦκρος. — Ὅτε Φρίξος καὶ Ἕλλη ἐπὶ χρυσομάλλου κριοῦ φερόμενοι τὴν μεταξὺ Σιγείου καὶ Χερρονήσου κειμένην θάλασσαν ὑπερέβαινον, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη· κἀκεῖ[2] ἀποθανούσης αὐτῆς, ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος.

§. 157. 1) s. §. 152, Anm. 6. 2) καὶ ἐκεῖ.

§. 158. Ἐπεὶ Σαρδανάπαλος ὁ ἔσχατος Ἀσσυρίων βασιλεὺς ἀπέγνω τὴν σωτηρίαν, ἵνα μὴ τοῖς πολεμίοις ὑποχείριος γένοιτο, πυρὰν ἐν τοῖς βασιλείοις κατεσκεύασεν ὑπερμεγέθη, καὶ τόν τε χρυσὸν καὶ τὸν ἄργυρον ἅπαντα, πρὸς δὲ τούτοις τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν ἐπὶ ταύτην ἐσώρευσε, καὶ ἅμα τούτοις ἅπασιν ἑαυτόν τε καὶ τὰ βασίλεια κατέκαυσεν. — Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπό τινος ἀσθενείας καταληφθείς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθάνων ἔκειτο. Ἐπεὶ δέ τις αὐτὸν[1] παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος

καὶ ἤρετο, τί πράττοι, ὁ Γοργίας ἔφη· ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.[2]

§. 158. 1) *αὐτὸν* gehört zu *ἐπισκοπούμενος*. 2) sc. *τῷ θανάτῳ*.

§. 159. *Τῶν Ἑλλήνων ἐπὶ Τροίᾳ διὰ τὴν Ἀχιλλέως ὀργὴν κεκμηκότων*[1], *Πάτροκλος προτραπεὶς ὑπὸ Νέστορος ἱκέτευσεν Ἀχιλλέα, δοῦναι κἂν*[2] *ἐπ' ὀλίγον τὴν πανοπλίαν αὐτῷ, ἵνα τοὺς Τρῶας τῶν νεῶν ἀπώσηται*[3]. *Ἐξελθὼν οὖν ὁ Πάτροκλος καὶ γενναίως ἀριστεύσας μετ' οὐ πολὺ*[4] *ἀνῃρέθη. Χαλεπήνας δὲ ὁ Ἀχιλλεὺς ἐπαύσατο μὲν τῆς πρὸς Ἀγαμέμνονα ἔχθρας, λαβὼν δὲ ἡφαιστότευκτον πανοπλίαν ἄλλους τε πολλοὺς καὶ τελευταῖον Ἕκτορα ἀνεῖλεν. — Κῦρος ὁ νεώτερος ἐν τῇ ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην μάχῃ προχειρότερον κινδυνεύων, ὑπό τινος τῶν τυχόντων*[5] *Περσῶν πληγεὶς ἐπικαίρως ἔπεσε· τούτου δ' ἀναιρεθέντος οἱ*[6] *βασιλέως πρὸς τὴν μάχην ἐπερρώσθησαν, καὶ τέλος τῷ τε πλήθει καὶ τῇ τόλμῃ κατεπόνησαν τοὺς ἀνθεστηκότας.*

§. 159. 1) *κάμνω*. 2) *κἂν ἐπ' ὀλ.*, wenn auch nur auf kurze Zeit. 3) *ἀπωθέω*. 4) *μετ' οὐ πολύ*, bald darauf. 5) von einem gemeinen Perser. 6) die Leute des Perserkönigs.

§. 160. *Δημοσθένης φησὶν ἐν λόγῳ τινί· νόσημα, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν*[1] *εἰς τὴν Ἑλλάδα καὶ χαλεπὸν καὶ πολλῆς παρ' ἡμῶν*[2] *ἐπιμελείας δεόμενον· ἄνθρωποι γὰρ μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες τὴν τῆς ἑαυτῶν πατρίδος ἐλευθερίαν προπεπώκασι πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ.' — Σωκράτης ἐν τῇ φυλακῇ κώνειον πιὼν τέθνηκεν· Αἰσχύλῳ γράφοντι ἐμπέπτωκε χελώνη· Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς πνιγεὶς ἀπέθανε· κύνες κατὰ Θρᾴκην Εὐριπίδην ἔτραγον*[3]*· τὸν θεῖον Ὅμηρον λιμὸς κατεδαπάνησεν. — Ἀσκληπιὸς, φύσει καὶ ἀγχινοίᾳ διενεγκὼν, ἐζήλωσε τὴν ἰατρικὴν ἐπιστήμην καὶ πολλὰ τῶν συντεινόντων πρὸς ὑγίειαν ἀνθρώπων ἐξεῦρε. Πολλοὺς δὲ τῶν ἀπεγνωσμένων ἀρρώστων παραδόξως θεραπεύων ἐπὶ τοσοῦτο*[4] *προὔβη*[5] *τῆς δόξης, ὥστε διὰ τοῦτο πολλοὺς δοκεῖν*[6] *τῶν τεθνεώτων ποιεῖν πάλιν ζῶντας.*

§. 160. 1) *ἐμπίπτω*. 2) von unserer Seite. 3) *τρώγω*. 4) man verbinde: *ἐπὶ τοσοῦτο τῆς δόξης*, so weit im Ruhme. 5) *προβαίνω*. 6) man construiere: *ὥστε διὰ τοῦτο δοκεῖν πολλοὺς τῶν τεθνεώτων πάλιν ζῶντας ποιεῖν*, so daß er lebendig zu machen schien.

Zweiter Cursus.

I.

Aesopische Fabeln.

1. Die Fischer.

Ἁλιεῖς, ἐξελθόντες[1] ἐπ' ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον[2], σφόδρα τε ἠθύμουν καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος, ὑπό του[3] τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο[4]. Οἱ δὲ[5] τοῦτον λαβόντες μεθ' ἡδονῆς ἀνεχώρησαν.

2. Die Gänse und Kraniche.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ[6] λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων[7], οἱ μὲν γέρανοι, κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν[8], οἱ δὲ χῆνες, διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν[9].

3. Die Schildkröte und der Adler.

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο[10]. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν[11] εἶτ'[12] ἀφῆκεν[13]· ἡ δὲ κατὰ πετρῶν πεσοῦσα[14] συνετρίβη.

---

1) ἐξέρχομαι. 2) αἱρέω. 3) für τινός, Buttm. §. 77, 2; Englm. §. 93, 1, Anm. 4) εἰσάλλομαι. 5) Buttm. §. 126, 4. 6) i. e. τοῦ αὐτοῦ. 7) Gen. absol., s. Buttm. §. 145, 2. 8) von ἀφίπταμαι oder ἀποπέτομαι. 9) συλλαμβάνω. 10) scil. αὐτῷ. 11) ἀναφέρω. 12) über εἶτα nach dem Particip s. Buttm. §. 144, Anm. 13. 13) ἀφίημι. 14) πίπτω.

4. Der Pfau und die Vögel.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν[1] ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. Αἰρουμένων[2] δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη· 'ἀλλ' εἰ σοῦ βασιλεύοντος[3] ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;'

5. Die Nachtigall und der Habicht.

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη κατὰ τὸ εἰωθὸς[4] ᾖδεν. Ἱέραξ δὲ, θεασάμενος καὶ τροφῆς ἀπορῶν, συνείληφεν[5] ἐπιπτάς[6]. Ἡ δ' ἀναιρεῖσθαι μέλλουσα ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι[7]· μηδὲ γὰρ ἱκανὴ εἶναι[8] ἱέρακος γαστέρα πληροῦν· δεῖν δ' αὐτὸν, τροφῆς προσδεόμενον, ἐπὶ τὰ μείζω τῶν ὀρνέων τραπέσθαι. Καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν· 'ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην[9], εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς[10] τὰ μήπω φαινόμενα διώκοιμι.'

6. Der Fuchs und der Löwe.

Ἀλώπηξ, μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς[11] μικροῦ[12] καὶ ἀποθανεῖν. Ἔπειτα τὸ δεύτερον θεασαμένη ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη οὕτως αὐτοῦ κατεθάρρησεν, ὡς καὶ προσελθοῦσα αὐτῷ διαλεχθῆναι[13].

7. Die Fischer.

Ἁλιεῖς εἷλκον σαγήνην. Βαρείας δ' αὐτῆς οὔσης ἔχαιρον καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν[14] νομίζοντες. Ὡς δ' ἐπὶ τῆς ἠϊόνος[15] αὐτὴν ἑλκύσαντες τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ

---

1) ἑαυτόν hängt von χειροτονεῖν ab. 2) 'als diesen alle wählen wollten.' 3) te regnante. 4) nach ihrer Gewohnheit. 5) συλλαμβάνω. 6) ἐπιπέτομαι. 7) βιβρώσκω. 8) der Infin. hängt von dem in ἐδεῖτο liegenden Begriffe eines Verbi dicendi ab: 'denn sie sei nicht einmal im Stande ꝛc.' 9) ich wäre doch einfältig. 10) ἀφίημι. 11) ὡς mit Infinitiv, so daß. 12) μικροῦ, beinahe, Buttm §. 150, 18. 13) Buttm. im Verbalverzeichniß unter λέγω. 14) 'in der Meinung, daß der Fang, den sie gemacht hatten, groß sei.' 15) sollte genau heißen: ἐπὶ τὴν ἠϊόνα, auf das Ufer. Im Griech. wird oft der Casus des wo und wohin verwechselt; so heißt es hier eigentlich: sie zogen das Netz heraus, so daß es auf dem Ufer lag: vgl. in Fabel 9 ἐπὶ τῶν ὤμων ἀράμενος.

ἀλύειν, οὐ τοσοῦτον[1] ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον ὅτι καὶ τἀναντία προσαπειλήφεσαν[2]. Εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε· 'μὴ ἀχθώμεθα[3], ὦ ἑταῖροι· τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη. Καὶ ἡμᾶς οὖν ἔδει, τοσαῦτα[4] προηδυνθέντας, πάντως τι[5] καὶ λυπηθῆναι.'

8. Der Prahler.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε[6] πολλὰ[7] ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἀν[8] τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα[9], οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ[10] δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη· 'ὦ οὗτος[11], εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων. Ἰδοὺ ἡ Ῥόδος[12], ἰδοὺ καὶ τὸ πήδημα.'

9. Der Greis und der Tod.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους[13] κἀπὶ τῶν ὤμων[14] ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς[15] ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν Θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου εὐθὺς ἐπιστάντος καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· 'ἵνα τὸν φόρτον τοῦτον ἄρας[16] ἐπιθῇς μοι.'

10. Der Landmann und seine Söhne.

Γεωργός τις, μέλλων καταλύειν τὸν βίον καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς ἔφη· 'παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξ-

---

1) *οὐ τοσοῦτον — ὅσον ὅτι*, nicht so sehr — als darüber daß. 2) *προσαπολαμβάνω*. 3) Conjunctiv der Aufforderung, Buttm. §. 139, 3. 4) 'da wir so große Freude voraus geäußert haben.' 5) etwas, ein wenig. 6) *τέ — καὶ δὴ καί*, sowohl — als auch besonders, cum — tum. 7) *ἄλλα πολλὰ ἀνδραγαθεῖν*, viele andere Großthaten ausführen. 8) *καὶ ἐν*. 9) Buttm. §. 131, 4. 10) *τῶν ἐπ' αὐτοῦ*, von seinen Zeitgenossen. 11) mit ironischer Wendung, mein Lieber; Buttm. §. 76, A. 1. 12) wörtlich: 'hier ist Rhodus, hier sei auch der Sprung,' d. i. denke dir, hier sei Rhodus, hier springe auch (hic Rhodus, hic salta). 13) aus einem Berge, statt an oder auf einem Berge, indem die Bäume als ein integrierender Theil, gleichsam als Glieder des Berges betrachtet werden. 14) s. S. 70, 15. 15) von *ἀπειπεῖν* (*ἀπαγορεύω*), s. Buttm. unter *εἰπεῖν*. 16) 'damit du aufhebest und &c.'

ειμι, ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μοι[1] κέκρυπται, ζητήσαντες[2] εὑρήσετε πάντα.' Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι[3], πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος, καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

11. Das Weib und die Henne.

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται[4] τῆς ἡμέρας[5], τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις, πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

12. Die Feinde.

Δύο τινὲς, ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον, ὧν ἅτερος[6] μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δ' ἐπὶ τῆς πρώρας ἐκάθητο. Χειμῶνος δ' ἐπιγενομένου καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης[7] τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. Τοῦ δὲ τὴν πρώραν εἰπόντος, 'ἀλλ'[8] ἔμοιγε οὐκ ἔστι λυπηρὸς' εἶπεν 'ὁ θάνατος, εἴγε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.'

13. Der Hund und der Wolf.

Κύων πρὸ ἐπαύλεως τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος[9] καὶ βρῶμα[10] μέλλοντος θύσειν[11] αὐτόν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. 'Νῦν μὲν γὰρ' φησί 'λεπτός εἰμι καὶ ἰσχνός· ἐὰν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ[12] τηνικαῦτα, πολλὰ φαγὼν[13], πιμελέστερος ἔσομαι καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι.' Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας[14] δ' ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα, καὶ στὰς

---

1) statt **ὑπ' ἐμοῦ**, Buttm. §. 134, 4. 2) wenn ihr suchen werdet. 3) **κατορύττω**, Buttm. §. 85, 1; Englm. §. 105. 4) *τίκτω*. 5) Buttm. §. 132, 5 b. 6) Buttm. §. 29, A. 5; Englm. §. 8, 1, Anm. 7) 'der auf dem Hintertheile befindliche.' 8) wohlan, nun gut. 9) Gen. absol. von **ἐπιτρέχω**. 10) als, zum Fraß. 11) s. §. 83, 4, S. 36. 12) **καὶ ἐγώ**. 13) **ἐσθίω**. 14) nach einiger Zeit.

κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· 'ἀλλ', ὦ λύκε,' ἔφη 'εἰ τὸ ἀπὸ τοῦδε[1] πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.'

14. Der Löwe und der Frosch.

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα[2] βοῶντος, ἐπεστράφη[3] πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ μικρόν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

15. Der Löwe, der Esel und der Fuchs.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης[4] προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν[5] αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων[6], ἐκλέξασθαι τούτους προὔτρεπετο. Καὶ ὁ λέων θυμωθεὶς[7] τὸν ὄνον κατέφαγεν[8]. Εἶτα τῇ ἀλώπεκι[9] μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτήν[10]· 'τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν;' Ἡ δ' εἶπεν· 'ἡ τοῦ ὄνου συμφορά.'

16. Der Wahrsager.

Μάντις, ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο[11]. Ἐπιστάντος δέ τινος αἴφνης καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι[12] τε πᾶσαι εἶεν καὶ πάντα τὰ ἔνδον[13] ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας καὶ δρομαῖος[14] ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος, 'ὦ οὗτος[15]', εἶπεν 'ὁ[16] τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος τὰ σαυτοῦ[17] οὐ προεμαντεύου;'

---

1) τὸ ἀπὸ τ., künftighin, ein andermal. 2) μέγα βοᾶν, laut schreien, quacken. 3) Aor. Pass. für Aor. Med. 4) συλλαμβάνω. 5) scil. τὴν θήραν, für sie die Theilung der Beute zu machen. 6) nach gleichem Maßstabe, Theilen. 7) weil ihn der Esel nicht bevorzugt hatte. 8) κατεσθίω. 9) gewöhnlich steht bei κελεύειν der Accusativ. 10) man ergänze ἔφη. 11) hielt Reden, d. i. wahrsagte. 12) ἀναπετάννυμι. 13) 'alles was darinnen war.' 14) Buttm. §. 123, 6. 15) Buttm. §. 76, A. 1. 16) 'der (da doch) du dich rühmst.' 17) 'das Deinige, was dich angeht.'

17. Die Ameise und die Taube.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο[1]. Περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα[2] εἰς τὴν πηγὴν ἔρριψεν, ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο, τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει[3]. Τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔρριψε καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν[4].

18. Der Hirt und das Meer.

Ποιμὴν, ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν[5]. Ἀπεμπολήσας οὖν τὰ πρόβατα καὶ φοινίκων βαλάνους πριάμενος ἀνήχθη[6]. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηΐ[7] διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος[8] τινὸς καὶ τῆς θαλάττης (ἔτυχε[9] γὰρ γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν[10] οὗτος εἶπε· 'φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.'

19. Der Hirsch und der Weinstock.

Ἔλαφος, κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον[11] ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα τῶν τῆς ἀμπέλου φύλλων[12] ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων οἱ κυνηγοὶ ἐπιστραφέντες καὶ, ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζῴων[13] ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον[14] τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· 'δίκαια πέπονθα[15]· οὐ γὰρ ἔδει[16] τὴν σώσασάν με λυμαίνεσθαι.'

---

1) 'war auf dem Punkt zu ertrinken.' 2) περιαιρέω. 3) 'gieng darauf aus, schickte sich an.' 4) machte fliehen, d. h. scheuchte auf, neml. durch das Geräusch. 5) auf Seehandel, d. i. um Seehandel zu treiben. 6) Aor. Pass. mit medialer Bedeutung von ἀνάγεσθαι. 7) ist Dat. instrument. 'dadurch daß das Schiff leer (flott) gemacht war.' 8) 'als einer vorübergieng, d. i. am Meeresstrande gieng. 9) 'es war nemlich eben ruhig;' über τυγχάνω mit Partic. s. Buttm. § 144, A. 6. 10) fiel dieser (dem bewundernden) in die Rede. 11) 'als jene eine kleine Strecke vorüber waren.' 12) Theilungsgenetiv: von den Blättern. 13) hängt von τι ab. 14) ἀναιρέω. 15) von πάσχω: mir geschieht recht. 16) das lat. non debebam, ich hätte nicht sollen.

20. Das Weib und die Mägde.

Γυνὴ χήρα φιλεργὸς, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει[1] νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς[2]. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι ἔγνωσαν[3] δεῖν τὸν ἐπὶ τῆς οἰκίας[4] ἀλεκτρυόνα ἀποκτεῖναι, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος[5] τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις χαλεπωτέροις περιπεσεῖν[6] τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν[7], ἐννυχώτερον ταύτας ἀνίστη.

21. Der Landmann.

Γεωργός τις σκάπτων χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην[8] οὖν τὴν Γῆν, ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς, ἔστεφε[9]. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσά φησιν· 'ὦ οὗτος, τί τῇ Γῇ τὰ ἐμὰ[10] δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; Εἰ γὰρ ὁ καιρὸς μεταβάλοι[11] καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι[12] τὸ χρυσίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτ' ἐμὲ, τὴν Τύχην, μέμψῃ.'

22. Die Dohle und die Tauben.

Κολοιὸς ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας[13] ἑαυτὸν ἦλθεν, ὡς[14] καὶ αὐτὸς[15] τῆς αὐτῆς διαίτης μεταληψόμενος[16]. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο. Ἐπεὶ δέ ποτε ἐκλαθόμενος[17] ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι[18] φύσιν ἐξήλασαν[19] παίουσαι. Καὶ ὃς[20] ἀποτυχὼν τῆς ἐνταῦθα[21] τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι, διὰ

---

1) ἔθω. 2) auf den Hahnenruf. 3) beschlossen. 4) ὁ ἐπὶ τῆς οἰκίας ἀλ. der Haushahn. 5) ὡς ἐκείνου ἐξανιστάντος, weil dieser aufwecke; über ὡς mit Partic. s. Buttm. §. 144, Anm. 14. 6) περιπίπτω. 7) die Zeit des Hahnenrufs. 8) man ergänze: ἡμέραν, an jedem Tage. 9) bekränzte die Gäa, nemlich ein Bild der Göttin, eine Ehre, die besonders den häuslichen und ländlichen Göttern erwiesen wurde. 10) 'die von mir herrührenden.' 11) ist hier intransitiv, wie man auch im Deutschen sagt: das Glück schlägt um. So auch im Lat. vertere, convertere, mutare. 12) τοῦτό σοι τὸ χρ., dieses dein Gold. Man könnte auch ähnlich im familiären Tone sagen: wenn dieses Gold dir in fremde Hände käme ꝛc. 13) Buttm. §. 101, Anm. 2. 14) ὡς mit Partic. Fut. in der Absicht um ꝛc. 15) das latein. et ipse, damit auch sie. 16) μεταλαμβάνω. 17) sich selbst vergessend. 18) γιγνώσκω. 19) man ergänze αὐτόν. 20) Buttm. §. 126, 5. 21) Buttm. §. 125, 6.

τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας[1] τυχεῖν.

23. Das Pferd und der Esel.*

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. Ὁδευόντων[2] δὲ ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· 'ἆρον[3] ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν.' Ὁ δὲ οὐκ ἐπείσθη. Ὁ δὲ ὄνος, πεσὼν ἐκ τοῦ κόπου, ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν[4] τὴν τοῦ ὄνου δοράν, θρηνῶν ὁ ἵππος ἐβόα· 'οἴμοι τῷ[5] παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ! μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.'

24. Der Trompeter.

Σαλπιγκτὴς, στρατὸν ἐπισυνάγων καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων, ἐβόα· 'μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην· οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ[6] τούτου οὐδὲν ἄλλο κτῶμαι[7].' Οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· 'διὰ τοῦτο γὰρ[8] μᾶλλον τεθνήξῃ[9], ὅτι σὺ, μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.'

25. Der Mörder.

Ἄνθρωπός τις φόνον ποιήσας ἐδιώκετο ὑπὸ τῶν συγγενῶν τοῦ φονευθέντος. Γενόμενος δὲ κατὰ τὸν ποταμὸν τὸν Νεῖλον[10], λέοντα ἰδὼν καὶ φοβηθεὶς ἀνέβη[11] εἰς δένδρον. Εὗρε δὲ δράκοντα ἐπάνω τοῦ δένδρου, καὶ πάλιν τοῦτον φοβηθεὶς ἔρριψεν ἑαυτὸν εἰς τὸν ποταμόν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο.

26. Der Löwe und der Stier.*

Λέων ταύρῳ παμμεγέθει ἐπιβουλεύων, ἐβουλήθη πρὸς

---

1) scil. *διαίτης*. * Man vergleiche die poetische Bearbeitung dieser Fabel von Babrius im letzten Abschnitte Nr. 3. 2) scil. *αὐτῶν*, Gen. absol. 3) nimm hinweg (ab), von *αἴρω*. 4) selbst, sogar. 5) Der Artikel steht, weil *παναθλίῳ* im Verhältniß einer Apposition zu *οἴμοι* steht. 6) er versteht darunter seine aus Erz verfertigte Trompete. 7) gewöhnlicher wäre *κέκτημαι*. 8) um den Sinn von *γάρ* zu fassen, ergänze man im Gedanken einen Satz der Art: diese Entschuldigung hilft nichts; denn ꝛc. 9) *θνήσκω*. Das vom Perfect gebildete Futur *τεθνήξομαι* (ich werde todt sein) steht hier für das gewöhnliche Futur *ἀποθανοῦμαι*. 10) regelmäßiger wäre die Stellung *κατὰ τὸν Νεῖλον ποταμόν*. 11) *ἀναβαίνω*. * Man vergl. dieselbe Fabel im Abschn. VII, Nr. 21.

αυτὸν παραγενέσθαι[1]. Καὶ δὴ προσκαλεσάμενος ὁ λέων τὸν ταῦρον ἔφη πρὸς αὐτόν· ‘πρόβατον ἔθυσα, ὦ φίλε, καὶ, εἰ βούλει, σήμερον συνεστιαθῶμεν[2] ὁμοῦ. Ἐβούλετο δὲ ὁ λέων μετὰ τὸ κατακλιθῆναι τὸν ταῦρον καταγωνίσασθαι. Ὁ δὲ ἐλθὼν καὶ θεασάμενος λέβητας πολλοὺς καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον μηδαμοῦ, μηδὲν εἰπὼν[3] ἀπηλλάττετο. Τοῦ δὲ λέοντος τὴν αἰτίαν[4] μαθεῖν ἐθέλοντος, ἔφη ὁ ταῦρος· ‘ἀλλ’ ἔγωγε οὐ μάτην τοῦτο ποιῶ καὶ φεύγω, ὦ λέον· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς[5] εἰς πρόβατον, ἀλλ’ εἰς ταῦρον ἡτοιμασμένην.’

27. Die Cikaden und die Ameisen.

Θέρους ἦν ἀκμή, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει[6] καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος[7] τραφήσεσθαι[8]. Χειμῶνος δὲ ἐπιγεγονότος[9], μύρμηκες μέν, οἷς[10] ἐπόνουν, ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς[11] ἔνδειαν. Οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ.

28. Der Fuchs und der Rabe.*

Κόραξ, κρέας ἁρπάσας, ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δέ, τοῦτον ἰδοῦσα καὶ βουλομένη περιγενέσθαι τοῦ κρέως, στᾶσα κάτωθεν ἐπῄνει αὐτὸν ὡς εὐμέγεθες καὶ καλὸν ὄρνεον καὶ θηρευτικὸν καὶ εὔμορφον, λέγουσα καί, ὅτι πρέπει μάλιστα αὐτὸν τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν[12]. Ὁ δὲ κόραξ, ἀκούσας ταῦτα καὶ χαυνωθεὶς τοῖς ἐπαίνοις, ῥίψας τὸ κρέας μεγάλως ἐκεκράγει[13]. Ἡ δὲ ἀλώπηξ, προσδραμοῦσα[14] καὶ λαβοῦσα τὸ κρέας, ἔφη πρὸς αὐτόν· ‘ἔχεις, ὦ κόραξ, ἅπαντα, νοῦς δέ σε λείπει.’

---

1) man ergänze als Subject: τὸν ταῦρον. 2) Aor. Pass. mit medialer Bedeutung, die auch das folgende κατακλιθῆναι hat. Ueber den Conjunctiv s. S. 71, 3. 3) ohne etwas zu sagen. 4) scil. τοῦ ἀπαλλάττεσθαι. 5) nicht wie für ein Schaf, d. i. nicht als ob es auf ein Schaf abgesehen sei. 6) kam es bei, d. i. sie gedachten. 7) zur Winterszeit. 8) über das Futur s. §. 83, 4, S. 36. 9) ἐπιγίγνομαι. 10) von dem was, Attraction statt τούτοις ἅ. 11) endete mit oder in Noth. * Man vergl. dieselbe Fabel im Abschn. VII, Nr. 14. 12) εἰ εἶχεν, wenn er hätte. 13) Das Plusquamperf. vertritt hier die Stelle des Imperf., da das Perf. κέκραγα Präsensbedeutung hat. 14) προστρέχω.

29. Der Fuchs und die Weintrauben.

Ἀλώπηξ λιμώττουσα ὡς ἐθεάσατο ἐπί τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι καὶ οὐκ ἠδύνατο· ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· ‘ὄμφακές εἰσιν.’

30. Das Kind und die Fortuna.

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. Ἐπιστᾶσα δὲ αὐτῷ ἡ Τύχη ἐβόα· ἀνάστα[1] καὶ ἄπελθε[2] ἐντεῦθεν, μή πως κάτω τοῦ φρέατος πέσῃς[3], καὶ ἐμὲ τὴν Τύχην καταμέμψωνται πάντες.’

31. Der sich badende Knabe.

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι. Ἰδὼν[4] δέ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει· ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτόν· ‘ἀλλὰ νῦν μοι βοήθει, ὕστερον δὲ σωθέντι[5] μέμψαι.’

32. Der Bock und der Wolf.

Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν· ὁ δὲ λύκος ἔφη· ‘ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.’

33. Der Wolf und das Lamm.

Λύκος ἀρνίον ἐδίωκε· τὸ δὲ εἴς τι ἱερὸν κατέφυγε. Προσκαλουμένου δὲ αὐτὸ τοῦ λύκου καὶ λέγοντος, ὅτι θυσιάσει αὐτὸ ὁ ἱερεύς, ἐὰν καταλάβῃ, τῷ θεῷ, ἐκεῖνο ἔφη· ‘ἀλλ' αἱρετώτερόν μοί ἐστι θεοῦ θυσίᾳ[6] γενέσθαι ἢ ὑπὸ σοῦ διαφθαρῆναι.’

34. Die Ziege und der Ziegenhirt.

Αἶγα ἀποστᾶσαν ἀγέλης ἐπανάγειν αἰπόλος ἐπειρᾶτο πρὸς τὰς λοιπάς. Ὡς δὲ φωναῖς καὶ συριγμοῖς χρώμενος[7] οὐδὲν ἤνυεν, λίθον ἀφεὶς καὶ τοῦ κέρως τυχὼν, ἐδεῖτο τῷ δεσπότῃ μὴ κατειπεῖν. Ἡ δὲ ‘ἀνούστατέ’ εἶπεν ‘αἰπόλων, τὸ κέρας κεκράξεται, κἂν ἐγὼ σιωπήσω.’

35. Der Wolf und der Reiher.

Λύκος καταπιὼν ὀστοῦν περιήει ζητῶν τὸν ἰασόμενον[8].

---

1) Buttm. §. 107, A. I, 14; Englm. §. 190, Anm. 2) ἀπέρχομαι. 3) πίπτω. 4) ὁράω. 5) das Particip mit wann aufzulösen. 6) Dativ als Prädikat zu μοί. 7) sich bedienend = durch. 8) einer der heilen konnte (Buttm. §. 144, A. 1), einen Arzt.

Περιτυχὼν δὲ ἐρωδιῷ, τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀστοῦν ἐξελεῖν[1]· *κἀκεῖνος καθεὶς*[2] *τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν φάρυγγα αὐτοῦ τὸ ὀστοῦν ἐξέσπασε, καὶ τὸν ὁμολογηθέντα μισθὸν ἐξήτει. Ὁ δὲ λύκος γελάσας καὶ τοὺς ὀδόντας θήξας φησίν· 'ἀρκεῖ*[3] *σοι καὶ*[4] *τὸ*[5] *μόνον σῴαν ἐξελεῖν τὴν κεφαλήν'.*

36. Die Frösche.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ[6] *φησί· 'συγκατέλθωμεν*[7], *ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ'. Ὁ δὲ ὑπολαβὼν εἶπεν· 'ἐὰν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;'*[8]

37. Der Fleisch tragende Hund.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι, μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα[9] *τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη. Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν*[10] *μὴ ἐφικομένῃ*[11], *διότι μηδὲ*[12] *ἦν, τοῦ δ' ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.*

38. Die Schildkröte und der Hase.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον[13] *ἀπηλλάγησαν*[14]. *Ὁ μὲν οὖν λαγωὸς, διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα*[15] *ἑαυτῇ τὴν βραδυτῆτα, οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα*[16] *εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.*

39. Der Löwe und der Hase.

Λέων ἐπιτυχὼν λαγωῷ κοιμωμένῳ τοῦτον ἔμελλε καταφαγεῖν[17]· *μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν*

---

1) **ἐξαιρέω.** 2) **καθίημι.** 3) es genügt, d. h. du darfst zufrieden sein. 4) auch, schon. 5) **τὸ** zu **ἐξελεῖν:** 'dies daß du ꝛc.' 6) Buttm. §. 29, A. 5; Englm. §. 8, 1, Anm. 7) von **συγκατέρχομαι,** Conjunctiv der Aufforderung 'laß uns ꝛc.' 8) **ἀναβαίνω.** 9) **ἀφίημι.** 10) nähere Bestimmung zu **ἀμφοτέρων:** des einen ꝛc. 11) das Particip mit indem aufzulösen. 12) auch nicht, gar nicht. 13) nemlich für einen Wettlauf. 14) entfernten sich, d. i. setzten sich in Lauf. 15) **σύνοιδα.** 16) **παρατρέχω.** 17) **κατεσθίω.**

λαγωὸν ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ[1] τῶν ψόφων ἐξαναστὰς ἔφυγεν· ὁ δὲ λέων, ἐπὶ[2] πολὺ διώξας[3] τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα ἔφη· 'ἀλλ' ἔγωγε δίκαια πέπονθα[4], ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βορὰν, ἐλπίδα μείζονα προὔκρινα.'

40. Der Esel, Fuchs und Löwe.

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον εἰς ἄγραν· λέοντος δ' αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ ὁρῶσα[5] τὸν ἐπηρτημένον κίνδυνον, προσελθοῦσα τῷ λέοντι ὑπέσχετο[6] παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. Τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος[7], παραγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε[8]. Καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρῶτον τὴν ἀλώπεκα συνέσχεν, εἶτ' ἐπὶ τὸν ὄνον ἐτράπη.

41. Der Rinderhirt.

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε[9] μόσχον· περιελθὼν δὲ καὶ μὴ εὑρὼν ηὔξατο τῷ Διὶ, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον α'τῷ θῦσαι. Ἐλθὼν δὲ εἴς τινα δρυμὸν καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας[10] εἰς τὸν οὐρανὸν τὰς χεῖρας εἶπε· 'δέσποτα Ζεῦ, πάλαι μέν σοι ηὐξάμην ἔριφον θῦσαι, ἐὰν τὸν κλέπτην εὕρω· νῦν δὲ ταῦρον θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω.'

42. Der Wanderer und der Bär.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος, μέλλων[11] περικατάληπτος γίγνεσθαι, πεσὼν ἐπὶ τοῦ ἐδάφους ἑαυτὸν νεκρὸν προσεποιεῖτο. Τῆς δὲ ἄρκτου προσενεγκούσης[12] αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῷον. Ἀπαλλαγείσης[13] δὲ, ὁ ἀπὸ τοῦ δένδρου

---

1) von, d. i. in Folge. 2) s. unter πολύς. 3) zur Erleichterung der Uebersetzung löse man auf: ἐπειδὴ — ἐδίωξε καὶ — οὐκ ἠδυνήθη. 4) πάσχω. 5) das Partic. ὁρῶσα mit der, προσελθοῦσα mit und aufzulösen. 6) ὑπισχνέομαι. 7) Buttm. §. 109, I, Anm. 2. 8) fecit ut incideret. 9) ἀπόλλυμι. 10) ἐπαίρω. 11) im Begriff, auf dem Punkt. 12) προσφέρω. 13) scil. τῆς ἄρκτου.

καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου, τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἰρήκει[1]. Ὁ δὲ εἶπε, τοῦ λοιποῦ[2] τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν.

43. Der Affe und der Fischer.

Πίθηκος ἐπί τινος ὑψηλοῦ δένδρου καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἔν τινι ποταμῷ σαγήνην βάλλοντας, παρετήρει τὰ ὑπ' αὐτῶν πραττόμενα. Ὡς δὲ ἐκεῖνοι τὴν σαγήνην ἀνασπάσαντες μικρὸν ἄπωθεν ἠρίστων, ὁ πίθηκος καταβὰς ἀπὸ τοῦ δένδρου ἐπειρᾶτο καὶ αὐτὸς τὰ αὐτὰ πράττειν· φασὶ γὰρ μιμητικὸν ζῷον εἶναι τοῦτο. Ἐφαψάμενος[3] δὲ τῶν δικτύων ὡς συνελήφθη[4], ἔφη πρὸς ἑαυτόν· 'ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γάρ, ἁλιεύειν μὴ μαθών[5], τούτῳ ἐπεχείρουν;'

44. Der Löwe und der Fuchs.

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν, ἔγνω[6] δεῖν δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον καὶ ἐνταῦθα κατακλιθείς, προσεποιεῖτο τὸν νοσοῦντα· καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν εἰς ἐπίσκεψιν ζῷα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων[7], ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο, καὶ στᾶσα ἄπωθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι· τοῦ δὲ εἰπόντος 'κακῶς' καὶ τὴν αἰτίαν ἐρομένου, δι' ἣν οὐκ εἴσεισιν, ἔφη· 'ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός.'

45. Die Frösche, die einen König verlangten.

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ ἑαυτῶν ἀναρχίᾳ[8] πρέσβεις ἔπεμψαν ἐπὶ τὸν Δία, δεόμενοι βασιλέα αὐτοῖς παρασχεῖν. Ὁ δὲ συνιδὼν[9] τὴν εὐήθειαν, ξύλον εἰς τὴν λίμνην καθῆκε. Καὶ οἱ βάτραχοι τὸ μὲν πρῶτον, καταπλαγέντες τὸν ψόφον, ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν· ὕστερον δέ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύντες εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὡς ἐπιβαίνοντας αὐτῷ ἐπικαθέζεσθαι. Ἀναξιοπαθοῦντες

---

1) von *εἰπεῖν*. 2) s. unter **λοιπός**. 3) im Deutschen übersetze man, als hieße es: *ὡς δ' ἐφήψατο τ. δ. καὶ συνελήφθη*. 4) *συλλαμβάνω*. 5) *μὴ μαθών*, 'ohne gelernt zu haben.' 6) *γιγνώσκω*. 7) *καταναλίσκω*. 8) über ihre Herrenlosigkeit, d. h. darüber daß sie keinen Herrscher (König) hatten. 9) *συνοράω*.

δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον ἐκ δευτέρου πρὸς τὸν Δία, καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν, ὕδραν αὐτοῖς ἐπέπεμψεν, ὑφ' ἧς συλλαμβανόμενοι[1] κατησθίοντο.

46. Der Fuchs und der Holzhauer.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα ὡς ἐθεάσατό τινα δρυτόμον, τοῦτον ἱκέτευε κατακρύψαι αὐτήν· ὁ δ' αὐτῇ παρῄνεσεν, εἰς τὴν ἑαυτοῦ καλύβην εἰσελθοῦσαν κρυβῆναι. Μετ' οὐ πολὺ[2] δὲ παραγενομένων τῶν κυνηγῶν καὶ τοῦ δρυτόμου[3] πυνθανομένων, εἰ[4] τεθέαται ἀλώπεκα τῇδε παριοῦσαν, ἐκεῖνος τῇ μὲν φωνῇ ἠρνεῖτο ἑωρακέναι, τῇ δὲ χειρὶ νεύων ἐσήμαινεν ὅπου κατεκέκρυπτο. Τῶν δὲ οὐχ οἷς ἔνευε[5] προσσχόντων[6], ἀλλ' οἷς ἔλεγε πιστευσάντων, ἡ ἀλώπηξ ἰδοῦσα[7] αὐτοὺς ἀπαλλαγέντας, ἐξελθοῦσα ἀπροσφωνητὶ ἐπορεύετο· μεμφομένου δ' αὐτὴν τοῦ δρυτόμου, εἴγε διασωθεῖσα ὑπ' αὐτοῦ οὐδὲ[8] φωνῆς αὐτὸν ἠξίωσεν, ἔφη· 'ἀλλ' ἔγωγε ηὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια τὰ ἔργα εἶχες[9].'

47. Der Hirsch und der Löwe.

Ἔλαφος δίψει συσχεθεῖσα[10] παρεγένετο ἐπί τινα πηγήν. Πίνουσα[11] δὲ ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο ὡς λεπτοῖς οὖσι[12] καὶ ἀσθενέσιν. Ἔτι δ' αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἐδίωκεν αὐτήν, κἀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ[13] αὐτοῦ προεῖχε. Μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα ἐσώζετο[14]· ἐπεὶ δὲ ἐγένετο κατά[15] τινα ὑλώδη τόπον, τηνικαῦτα συνέβη, τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις, μὴ

1) = συνελαμβάνοντο καὶ etc., sie wurden allmählich (nach und nach) ergriffen und ꝛc. 2) s. unter πολύς. 3) hängt von πυνθανομένων ab. 4) ob. 5) οἷς ἔνευε = τούτοις ἃ ἔνευε, seinen Winken, eben so οἷς ἔλεγε, seinen Worten. 6) προσέχω. 7) man löse die Participien auf: ἡ ἀλώπηξ, ὡς εἶδεν.., ἐξῆλθε καὶ ἐπορεύετο; von ἰδοῦσα hängt ἀπαλλαγέντας ab, wofür im Deutschen ein Satz mit daß. 8) nicht einmal. 9) 'wenn du hättest,' d. h. wenn bei dir ähnlich wären. 10) συνέχω. 11) trinkend, beim Trinken. 12) ὡς — οὖσι, 'als solche die seien, weil sie s.' 13) s. unter πολύς. 14) wurde gerettet, d. i. war ungefährdet. 15) ἐγένετο κατὰ, 'war gekommen in das Bereich'.

δυναμένην[1] τρέχειν συλληφθῆναι τῷ λέοντι[2]. Μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτήν· 'δειλαία ἐγώ, ἥτις, ὑφ' ὧν μὲν ᾠόμην προδοθήσεσθαι[3], ἐσωζόμην ὑπὸ τούτων[4], οἷς δὲ καὶ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπόλλυμαι.'

48. Der Holzhauer und Merkur.

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν οἰκεῖον ἀπέβαλε[5] πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δέ, μαθὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε[6] πέλεκυν, καί, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν[7], ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πρὸς τοὺς ἑταίρους τὰ συμβάντα αὐτοῖς διεξελήλυθεν[8]· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ 'ναὶ ἀληθῶς ἥδ' ἐστί' φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

49. Der Hund und die Schafe.

Ὅτε φωνήεντα ἦν τὰ ζῷα, ἡ οἶς πρὸς τὸν δεσπότην εἶπε· 'θαυμαστὸν ποιεῖς, ὃς[9] ἡμῖν[10] μὲν ταῖς καὶ ἔρια σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ,τι ἂν μὴ[11] ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει,

---

1) *μὴ δυν.*, 'außer Stande, in der Unmöglichkeit.' 2) = *ὑπὸ τοῦ λέοντος*. 3) hier im Sinne von zu Schanden werden. 4) rhetorische Stellung statt *ὑπὸ τούτων ὑφ' ὧν* etc. 5) ließ in den Fluß fallen. 6) *ἀναφέρω*. 7) *ἀπόλλυμι*. 8) *διεξέρχομαι*. 9) der Relativsatz enthält hier die nähere causale Bestimmung des Hauptsatzes, wo der Lateiner qui mit Conjunctiv anwendet; man übersetze daher *ὅς*: weil, insofern du. 10) uns Schafen. 11) *οὐδὲν ὅ,τι ἂν μή* etc., nichts, was nicht, d. i. nichts anderes als was, d. i. keine andere Nahrung, als die wir 2c.

μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου[1]. Ὁ κύων οὖν ἀκούσας εἶπε· ‘ναὶ μὰ Δία[2]· ἐγὼ γάρ εἰμι ὁ[3] καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι μήτε ὑπὸ λύκων ἁρπάζεσθαι, ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ'[4] ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε[5]·’ Οὕτω δὴ καὶ τὰ πρόβατα συνεχώρησε τὸν κύνα προτιμᾶσθαι.

50. Der Flötenspieler und die Fische.

Ἐπεὶ οἱ Λυδοὶ κατεστραμμένοι[6] ἦσαν ὑπὸ Περσῶν, Ἴωνες καὶ Αἰολεῖς ἔπεμπον ἀγγέλους ἐς Σάρδεις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖς αὐτοῖς[7] κατήκοοι εἶναι, ἐφ' οἷς καὶ Κροίσῳ ἦσαν[8]. Ὁ δ' ἀκούσας τοὺς λόγους αὐτῶν ἔλεξε τόνδε τὸν λόγον[9]· ‘Ἀνὴρ[10] αὐλητὴς ἰδὼν ἰχθῦς ἐν τῇ θαλάττῃ ηὔλει, δοκῶν[11] ἐξελεύσεσθαι[12] αὐτοὺς ἐς γῆν. Ὡς δ' ἐψεύσθη τῆς ἐλπίδος, ἔλαβεν ἀμφίβληστρον καὶ περιέβαλέ τε πλῆθος πολὺ τῶν ἰχθύων καὶ ἐξείλκυσεν. Ἰδὼν δὲ παλλομένους εἶπε πρὸς τοὺς ἰχθῦς· παύεσθέ μοι[13] ὀρχούμενοι, ἐπεὶ οὐδ'[14] ἐμοῦ αὐλοῦντος ἠθέλετε ἐκβαίνειν ὀρχούμενοι.’ Κῦρος τοῦτον[15] τὸν λόγον τοῖς Ἴωσι καὶ τοῖς Αἰολεῦσι τῶνδε ἕνεκα ἔλεξεν, ὅτι οἱ Ἴωνες πρότερον, αὐτοῦ[16] Κύρου δεηθέντος αὐτῶν[17] δι' ἀγγέλων ἀφίστασθαι ἀπὸ Κροίσου, οὐκ ἐπείσθησαν, τότε δὲ, κατειργασμένων[18] τῶν πραγμάτων, ἦσαν ἕτοιμοι πείθεσθαι Κύρῳ.

---

1) Attraction statt: μεταδίδως τοῦ σίτου, ὅνπερ αὐτὸς ἔχεις, s. Buttm. §. 143, 13. 2) allerdings beim Zeus; der Sinn dieser Betheuerung ist: hierin thut der Herr (ὁ δεσπότης) wahrhaftig Recht. 3) ἐγώ εἰμι ὁ, ich bin es, der ꝛc. 4) nicht einmal. 5) ἀπόλλυμι. 6) καταστρέφω. 7) ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς, ‘unter denselben Bedingungen, unter welchen.’ 8) gewesen waren, mit Ergänzung von κατήκοοι. 9) Fabel. 10) ἀνήρ wird im Griech. häufig zu Personalbenennungen, besonders bei Bezeichnung eines Standes, hinzugesetzt. 11) in der Erwartung. 12) ἐξέρχομαι. 13) der sogenannte dativus ethicus, wie auch wir sagen: höret mir auf zu tanzen; s. Buttm. §. 133, Anm. 5. 14) ‘auch nicht, als ich auf der Flöte blies.’ 15) οὗτος bezieht sich auf das vorhergehende, ὅδε in τῶνδε ἕνεκα auf das folgende. 16) heißt hier selbst. 17) hängt von δεηθέντος ab, da man sagt δεῖσθαί τινος, einen bitten, angehn um etwas. 18) nachdem die Sache abgethan war, d. h. der Kampf mit Krösus beendigt. Ueber das Passiv des medialen Verbi κατεργάζεσθαι Buttm. §. 113, Anm. 6.

II.

Anekdoten und Charakterzüge aus dem Leben der Philosophen Diogenes und Sokrates.

---

a. Diogenes.

1. Ἐπεὶ Ἀντισθένης[1] ὁ φιλόσοφος πολλοὺς προὔτρεπεν ἐπὶ φιλοσοφίαν, οἱ δὲ[2] οὐδὲν[3] αὐτῷ προσεῖχον, τέλος[4] ἀγανακτήσας οὐδένα προσίετο. Καὶ[5] Διογένην[6] οὖν ἤλαυνεν ἀπὸ τῆς συνουσίας αὐτοῦ. Ἐπεὶ δὲ ἦν λιπαρέστερος[7] ὁ Διογένης καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι[8] αὐτοῦ ἠπείλει, καί ποτε καὶ[9] ἔπαισε κατὰ τῆς κεφαλῆς. Ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν, καὶ ἔλεγε· 'σὺ μὲν παῖε, εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν· καὶ οὐκ ἂν[10] οὕτως[11] ἐξεύροις βακτηρίαν σκληράν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν.' — 2. Διογένης ὁ Σινωπεὺς λύχνον μεθ' ἡμέραν ποτὲ ἅψας 'ἄνθρωπον' ἔφη 'ζητῶ.' — 3. Ἔφη τις τὸν Διογένη ἀνόητον εἶναι· ὁ δὲ[12]· 'ἀνόητος μὲν οὐκ εἰμί, τὸν δὲ αὐτὸν ὑμῖν[13] νοῦν οὐκ ἔχω.' — 4. Διογένης ἐνουθέτει τινὰ πονηρόν· ἐρωτώμενος δὲ ὑπό

---

1) Antisthenes, Schüler des Sokrates, war der Stifter der sogenannten cynischen Schule. 2) *οἱ δέ*, diese aber; Buttm. §. 126, 4; Englm. §. 89, 4. 3) verstärkt für *οὔ*. 4) *τέλος*, endlich, zuletzt, = *τὸ τελευταῖον*. 5) *καὶ — οὖν*, auch nun, sodann auch. 6) über die Form s. Buttm. §. 56, Anm. 4. 7) Comparativ mit Steigerung des Positivbegriffes, wo der Deutsche die Zusätze ziemlich, zu, gar gebraucht. 8) *καθικνέομαι*. 9) *καὶ ἔπαισε*, schlug er ihn auch wirklich (drohte nicht allein, sondern schlug auch). 10) über *ἄν* mit Optativ s. §. 69, 2, S. 29. 11) *οὕτως* gehört zu *σκληράν*. 12) man ergänze *ἔφη*. 13) wie ihr; s. Buttm. §. 133, 2 f.

τινος, τί τοῦτο ποιεῖς[1]*; ἔφη· ‘Αἰθίοπα σμήχω, ἵνα λευκὸν ποιήσω.’* — 5. *Ὁ αὐτὸς ἐρωτηθείς, ποῖα εἴη θηρία χαλεπώτερα*[2]*, εἶπεν· ‘ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.’* — 6. *Διογένης ἔλεγεν· οἱ μὲν ἄλλοι κύνες*[3] *τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.’* — 7. *Λοιδορούμενος ὑπό τινος φαλακροῦ ἔφη· ‘σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν ἐξέφυγον κράνειον.’* — 8. *Προδότου τινὸς κακῶς αὐτὸν*[4] *λέγοντος*[5]*, ἔφη· ‘χαίρω ἐχθρός σοι γενόμενος*[6]*· σὺ γὰρ οὐ τοὺς ἐχθρούς, ἀλλὰ τοὺς φίλους*[4] *κακῶς ποιεῖς.’* — 9. *Διογένης, ὀνειδίσαντος*[5] *αὐτῷ μοχθηροῦ τινος πενίαν, ἔφη· ‘διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον*[7] *εἶδον, διὰ δὲ κακίαν πολλούς.’* — 10. *Διογένης, ὀδυρομένου τινός, ἐπειδὴ*[8] *ἐπὶ ξένης*[9] *ἔμελλε τελευτᾶν, εἶπε· ‘τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδὸς αὐτὴ εἰς Ἅιδου*[10]*.’* — 11. *Ἐρωτηθείς, ποῦ τῆς Ἑλλάδος*[11] *ἴδοι ἀγαθοὺς ἄνδρας, ‘ἄνδρας μὲν’ εἶπεν ‘οὐδαμοῦ*[12]*, παῖδας δ’ ἐν Λακεδαίμονι.’* — 12. *Ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς ἔφη· ‘αἴτησόν με*[13] *ὃ θέλεις,’ καὶ ὃς ‘ἀποσκότισόν μου’ ἔφη.* — 13. *Μακρά*[14] *τινος ἀναγιγνώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον*[15] *παραδείξαντος, ‘θαρρεῖτε,’ ἔφη ‘ἄνδρες· γῆν ὁρῶ.’* — 14. *Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, ‘ποσταῖος*[16]*’ ἔφη ‘πάρει ἀπὸ τοῦ οὐρανοῦ;’* — 15. *Ἀνθρώπου τινὸς μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν ἑαυτοῦ οἰκίαν· ‘μηδὲν εἰσίτω*[17] *κακόν·’ ‘ὁ οὖν κύριος τῆς οἰκίας’ ἔφη ‘ποῦ ἂν εἰσέλθοι;’* —

1) was thust du hiermit? d. i. was ist es, was du da thust? 2) Comparativ statt des Superlativs, wie öfters im Griech. vorkömmt, indem dem einen Gegenstand als zweiter alle übrigen derselben Gattung entgegengesetzt gedacht werden, also so viel als: *ποῖα εἴη θηρία χαλεπώτερα τῶν ἄλλων*; vgl. unten Nr. 21: *ποῖος ἂν εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα.* 3) es ist bekannt, daß Diogenes als Cyniker wegen seiner unfeinen Lebensart *κύων* genannt wurde, in Bezug worauf er sich hier mit den wirklichen Hunden vergleicht. 4) über den Accus. Buttm. §. 131, 2. 5) Gen. absol. 6) ‘darüber, daß ich geworden bin;’ Particip statt eines Causalsatzes. 7) das Particip von *εἶδον* regiert. 8) soviel als *ὅτι* oder *διότι*. 9) scil. *χώρας*. 10) s. §. 9, 7, S. 6. 11) Theilungsgenetiv: wo in Hellas, d. i. in welchem Theile v. H. 12) scil. *εἶδον*. 13) man sagt *αἰτεῖν τινά τι*, einen um etwas bitten. 14) *μακρὰ ἀναγιγν.*, ‘eine lange Schrift, langen Aufsatz vorlesen.’ 15) ein unbeschriebenes Blatt. 16) *ποσταῖος πάρει*, ‘wie viele Tage sind es, daß du gekommen bist?’ über das Adjectiv *ποσταῖος* s. Buttm. §. 123, 6. 17) *εἴσειμι*.

16. *Πλάτωνος ὁρισαμένου*[1]· *'ἄνθρωπός ἐστι ζῷον δίπουν ἄπτερον,' καὶ εὐδοκιμοῦντος*[2], *τίλας ὁ Διογένης ἀλεκτρυόνα εἰςήνεγκεν*[3] *εἰς τὴν σχολὴν αὐτοῦ καὶ εἶπεν· 'οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος.'* — 17. *Πρὸς τὸν πυθόμενον, ποίᾳ ὥρᾳ δεῖ ἀριστᾶν, 'εἰ μὲν πλούσιος*[4]*,' ἔφη 'ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ.'* — 18. *Μετὰ τὴν ἐπὶ Χαιρωνείᾳ μάχην συλληφθεὶς*[5] *ἀπήχθη πρὸς Φίλιππον, καὶ ἐρωτηθείς, τίς εἴη, 'κατάσκοπος' ἔφη 'τῆς σῆς ἀπληστίας·' ὅθεν*[6] *θαυμασθεὶς ἀφείθη*[7]. — 19. *Ἰδὼν ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, 'ταχέως,' εἶπεν 'ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα*[8]*.'* — 20. *Αἰτῶν*[9] *τινα ἔφη· 'εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς καὶ ἐμοί· εἰ δὲ μηδενί, ἀπὸ ἐμοῦ ἄρξαι.'* — 21. *Ἐρωτηθείς ποτε ὑπό του*[10] *τυράννου, ποῖος ἂν εἴη ἀμείνων*[11] *χαλκὸς εἰς ἀνδριάντα, ἔφη· 'ἀφ' οὗ Ἁρμόδιος*[12] *καὶ Ἀριστογείτων ἐχαλκεύθησαν.'* — 22. *Ὁ αὐτὸς θεασάμενος ἄσωτον ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη· 'εἰ*[13] *οὕτως ἠρίστας*[14]*, οὐκ ἂν οὕτως ἐδείπνεις.'* — 23. *Ἐκ τοῦ βαλανείου ἐξιὼν τῷ μὲν πυθομένῳ, εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δέ*[15]*, εἰ πολὺς ὄχλος, ὡμολόγησεν.* — 24. *Ἰδὼν ποτε δύο Κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη· 'πότερος τούτων Χείρων*[16] *ἐστίν;'* — 25. *Πλάτων ἐρωτηθεὶς ὑπό τινος· 'ποῖός τίς*[17] *σοι Διογένης δοκεῖ;' 'Σωκράτης, εἶπε, μαινόμενος.'* — 26. *Διογένης ἰδὼν ποτε μειράκιον ἐρυθριῶν, 'θάρρει,' ἔφη 'τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα.'* — 27. *Εἰς*

---

1) 'als Plato die Definition aufstellte.' 2) 'und als er damit Beifall fand.' 3) *εἰσφέρω*. 4) man ergänze zu *πλούσιος: ἐστί τις* und eben so *τίς* als Subject zu *θέλῃ* und *ἔχῃ*. 5) *συλλαμβάνω*. 6) woher, d. i. wegen dieser freimüthigen Antwort. 7) *ἀφίημι*. 8) Wortspiel zwischen dem Eigennamen *Νέμεα*, die nemeischen Spiele, und dem Etymon desselben, welches (von *νέμειν*) bedeutet: die Weide, der Weideplatz. 9) *αἰτεῖν* mit blos persönlichem Object: 'einen um eine Gabe ansprechen, einen anbetteln.' 10) Buttm. §. 77, 2; Englm. §. 93, 1, Anm. 11) s. S. 86. 2. 12) Harmodius und Aristogiton hatten den Bruder des Tyrannen Hippias, Hipparchus, ermordet; ihnen wurden später Bildsäulen von dem Volk in Athen errichtet. Diogenes sagt also sehr beißend: jenes Erz sei das beste, aus dem die Bildsäulen von Tyrannenmördern gefertigt würden. 13) über den Conditionalsatz s. Buttm. §. 139, A. 4. (28) 'wenn du so (d. i. so einfach) gefrühstückt hättest, würdest du nicht ꝛc. 14) Diogenes faßt hier *ἀριστᾶν* und *δειπνεῖν* im figürlichen Sinne, ersteres von der Lebensart am Morgen des Lebens, d. i. in der Jugendzeit, letzteres von der am Abend des Lebens. 15) scil. *πυθομένῳ*. 16) sehr witziges Wortspiel zwischen dem Eigennamen *Χείρων*, der Centaur Chiron, und dem Comparativ *χείρων*, schlechter. 17) was für einer, das lat. qualis tibi videtur.

Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, 'ἄνδρες[1] Μύνδιοι,' ἔφη 'κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ.' — 28. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, 'ἐπίδος καὶ ἡμῖν' ἔφη 'τοῖς[2] πτωχοῖς τῆς γαστρός[3]· καὶ[4] γὰρ αὐτὸς κουφισθήσῃ, καὶ ἡμᾶς ὠφελήσεις.' — 29. Ὀνειδιζόμενός ποτε, ὅτι ἐν ἀγορᾷ ἔφαγεν[5], 'ἐν ἀγορᾷ γάρ[6]' ἔφη 'καὶ ἐπείνησα.' — 30. Ἄνθρωπόν ποτε δύσκολον ᾔτει[7]. Τοῦ δὲ εἰπόντος 'ἐάν[8] με πείσῃς[9], ἔφη· 'εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισά σε ἂν ἀπάγξασθαι.' — 31. Διογένης ἐπανήρχετό ποτε ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον 'ποῖ καὶ πόθεν[10];' 'ἐκ τῆς ἀνδρωνίτιδος' εἶπεν 'εἰς τὴν γυναικωνῖτιν.' — 32. Ὁ αὐτὸς ἐρωτηθείς, τί ποιῶν[11] κύων καλεῖται, ἔφη· 'τοὺς μὲν διδόντας σαίνων[12], τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. — 33. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες[13] συνεχὲς ἔλεγον 'κύον.' ὁ δὲ 'ὑμεῖς' εἶπεν 'ἐστὲ κύνες, οἳ ἐμὲ ἀριστῶντα περιεστήκατε.' — 34. Ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη· 'τί τοῦτο; ἢ ἵνα[14] τούς ποτέ σε νικήσαντας νῦν καταβάλῃς[15];' — 35. Πρὸς τὸν συνιστάντα τὸν παῖδα καὶ λέγοντα, ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη[16] κράτιστος· 'τί οὖν, εἶπεν, ἐμοῦ χρῄζει;' — 36. Διογένης ἰδών ποτε νεανίσκον θηλυνόμενον, 'οὐκ αἰσχύνῃ[17]' ἔφη 'χείρονα[18] τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος[19]; ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα

1) Buttm. §. 123, Anm. 6. 2) über den Artikel s. S. 76, 5. 3) von deinem Bauche. 4) καί bezieht sich auf das folgende καί: sowohl — als auch. 5) ἐσθίω. 6) ja auch; eigentlich: 'ich aß auf dem Markte, denn &c.' 7) s. S. 87, 9. 8) man ergänze vor ἐάν den Gedanken: δώσω σοι. 9) 'wenn du mich zu überreden verstehst,' d. i. wenn du mir Gründe anzuführen weißt, warum ich dir geben soll. 10) ποῖ καὶ πόθεν (scil. πορεύῃ), das lateinische unde et quo, war die gewöhnliche Formel bei dem Zusammentreffen auf der Straße, z. B. Plat. Lysis p. 203: καί με προσιόντα ὁ Ἱπποθάλης ἰδών, ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύῃ καὶ πόθεν; Horat. Sat. I, 9, 62: Unde venis et quo tendis? 11) was thuend, d. i. wodurch, weshalb. 12) scil. κύων καλοῦμαι. 13) Buttm. §. 107, II, 3; Englm. §. 191, A. 14) τί τοῦτο; ἢ ἵνα etc. 'was ist der Grund hiervon? vielleicht damit &c.,' d. i. treibst du vielleicht deshalb jetzt die Arzneikunde, damit &c. 15) zu Boden werfen, im doppelten Sinne gesagt von dem Ringer, und von dem Arzte, wenn er einen Kranken aus der Welt befördert. 16) τὰ ἤθη κράτιστος, von vortrefflichem Charakter; s. Buttm. §. 131, 7. 17) negative Frage statt des Imperativs αἰσχύνου; vgl. Nr. 37 u. 38. 18) schlechter als die Natur; χείρονα ist Neutr. Plur. 19) Buttm. §. 144, 6.

εἶναι.' — 37. Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρός 'οὐκ αἰσχύνῃ' ἔφη 'καταφρονῶν τούτου, δι' οὗ μέγα φρονεῖς;' — 38. Ὁ αὐτὸς ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, 'οὐκ αἰσχύνῃ' ἔφη 'ἐξ ἐλεφαντίνου κολεοῦ μολυβδίνην ἕλκων μάχαιραν;' — 39. Ὀνειδιζόμενος, ὅτι αὐτὸς αἰτεῖ[1], Πλάτωνος μὴ αἰτοῦντος[2], κἀκεῖνος' εἶπεν 'αἰτεῖ, ἀλλ'

ἄγχι[3] σχὼν[4] κεφαλήν, ἵνα μὴ πευθοίαθ'[5] οἱ ἄλλοι.' —

40. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ[6] τὸν σκοπὸν ἐκάθισεν, εἰπών, 'ἵνα μὴ πληγῶ[7].' — 41. Ἐρωτηθείς, εἰ[8] κακὸς ὁ θάνατος, 'πῶς' εἶπε 'κακός, οὗ παρόντος[9] οὐκ αἰσθανόμεθα;'. — 42. Πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα 'οὐ φοβῇ με;' 'τί γάρ' εἶπεν 'εἶ[10]; ἀγαθὸν ἢ κακόν;' τοῦ δὲ εἰπόντος 'ἀγαθόν·' 'τίς οὖν' εἶπε 'τὸ ἀγαθὸν φοβεῖται;' — 43. Διογένης ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν ἔνδοξος γίγνοιτο, ἀπεκρίνατο· 'ὅτι ἥκιστα δόξης φροντίζων.' — 44. Ὁ αὐτὸς ἰδὼν μειράκιον ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπών· 'τί γὰρ ταῦτα[11] παιδεύεις;' — 45. Πυνθανομένου τινός, πῶς ἄν τις ἑαυτοῦ γένοιτο[12], 'εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις[13]', ἔφη 'καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.' — 46. Διογένης ἄσωτον[14] ᾔτει μνᾶν· τοῦ δὲ εἰπόντος 'διὰ τί τοὺς ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς'; ἔφη· 'παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ σοῦ δὲ οὐκέτι.' — 47. Διογένης, ἐν συμποσίῳ τινὶ πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτο ἐξέχεεν[15]. Ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, 'ἐὰν γὰρ αὐτὸν' ἔφη 'ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προσαπόλλυσιν.' — 48. Ἀστρολόγου τινὸς κατ' ἀγορὰν ἐπιδεικνύντος ἔν τινι πινακίῳ καταγράφους τοὺς ἀστέρας καὶ φάσκοντος, ὅτι[16] οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν

---

1) s. S. 87, 9. 2) während Pl. nicht bettele. 3) Vers aus Hom. Odyss. I, 157, wo er vom Telemach vorkömmt, der leise zur Athene spricht. 4) ἔχω. 5) statt πεύθοιντο, da im epischen Dialect die passive Optativform 3. Pers. Plur. immer auf οιατο statt οιντο gebildet wird. 6) neben, hart an das Ziel. 7) von πλήσσω, daß ich nicht getroffen werde; vor ἵνα denke man hinzu: ich setze mich hierher rc. 8) ob. 9) dessen Gegenwart. 10) τί γὰρ εἶ; 'was bist du denn, daß ich dich fürchten sollte?' 11) d. i. ein so schlechtes Betragen. 12) ἑαυτοῦ γίγνεσθαι, seiner selbst werden, d. i. sich beherrschen, seine Leidenschaften zügeln. 13) τ. ἄλλ., seine Nebenmenschen. 14) s. S. 86, 13. 15) über die Aoristform s. Buttm. §. 96, Anm. 1; Englm. §. 191. 16) ὅτι wird im Griech. auch oft angewendet, um eine directe Rede einzuführen, in welchem Fall es im Deutschen unübersetzt bleibt.

ἀστέρων, ἐπακούσας ὁ Διογένης, ‘μὴ ψεύδου,’ εἶπεν ‘ὦ ἑταῖρε· οὐ γὰρ οὗτοί εἰσιν οἱ πλανώμενοι, ἀλλ’ οὗτοι,’ δείξας αὐτῷ τοὺς παρακαθεζομένους. — 49. Ὁ αὐτὸς ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας, ἤρετο· ‘τίνος[1] ταῦτα;’ Τῶν δὲ εἰπόντων ‘Ἀναξιμένους·’ ‘οὐκ αἰδεῖται’ ἔφη ‘ταῦτα ἔχων[2] ἅπαντα, αὐτὸς ἑαυτὸν μὴ ἔχων[3];’ — 50. Σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς ἐπῄει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων[4] δὲ ὠνείδισεν, ὡς[5] ἐπὶ μὲν τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως. — 51. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον, ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, εἰπών· ‘παιδίον με νενίκηκεν εὐτελείᾳ.’ Ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε[6] τὸ σκεῦος, τῷ κοίλῳ τὴν φακῆν ὑποδεχόμενον[7]. — 52. Ἀξιούντων αὐτὸν τῶν Ἀθηναίων μυηθῆναι[8], καὶ λεγόντων, ὡς ἐν Ἅιδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι[9]· ‘γελοῖον,’ ἔφη ‘εἰ[10] Ἀγησίλαος μὲν καὶ Ἐπαμινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν[11], εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται.’ — 53. Ἐπῄνει ποτὲ Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου, τὸ λέγον·

Οὐδ’ ἂν βοῦς ἀπόλοιτ’[12], εἰ μὴ γείτων κακὸς εἴη·

ἀκούοντος[13] Διογένους· ὁ δὲ εἶπε· καὶ μὴν Μεσσήνιοι[14] καὶ αἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.’ — 54. Ἡνίκα Διογένης ἀπέλιπε τὴν πατρίδα[15], εἷς αὐτῷ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης· ὃς οὐ φέρων τὴν μετ’ αὐτοῦ διατριβὴν ἀπέδρα[16]. Προτρεπόντων δὲ τινῶν ζητεῖν αὐτόν, ἔφη· ‘οὐκ αἰσχρόν ἐστι, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους;’ — 55. Ἀττικοῦ τινος ἐγκαλοῦντος

1) *τίνος* scil. *ἐστί*, wem gehören? Gen. des Besitzes. 2) s. S. 88, 19. 3) d. h. da er selbst nicht seiner Herr ist, sondern Sklave seiner Leidenschaften. 4) ‘als sich nun Leute um ihn sammelten;’ der Gen. ist nicht von *ὠνείδισεν* abhängig, sondern ein absoluter. 5) *ὡς* mit Particip: weil sie. 6) *κατάγνυμι*. 7) bezieht sich auf *παιδίον*, da das Particip von *θεασάμενος* regiert ist. 8) ‘sich in die (eleusinischen) Mysterien einweihen zu lassen.’ 9) In den Mysterien herrschten reinere und geistigere Ansichten als in der mehr sinnlichen Volksreligion, über religiöse Gegenstände überhaupt, als besonders über Tod und Unsterblichkeit. 10) so viel als *ὅτι*. 11) *εἰ διάξουσιν*, daß (wenn) sie zubringen sollten. 12) *ἀπόλλυμι*. 13) in Gegenwart des D. 14) die bekanntlich von den Spartanern unterjocht wurden. 15) D. war aus Sinope, einer Stadt in Paphlagonien am schwarzen Meere. 16) *ἀποδιδράσκω*.

αὐτῷ, διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν[1], παρ' ἐκείνοις οὐ διατρίβει· 'οὐδὲ γὰρ[2] ἰατρός,' εἶπεν 'ὑγιείας ὢν ποιητικός[3], ἐν[4] τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.' — 56. Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπὸ Ἀριστίππου, τί αὐτῷ περιεγένετο ἐκ φιλοσοφίας, εἶπε· 'τὸ πλουτεῖν μηδὲ ὀβολὸν ἔχοντα[5].' — 57. Διογένης λόγον τινὰ διεξῄει περὶ σωφροσύνης καὶ ἐγκρατείας, καί, ὡς ἐπῄνουν αὐτὸν οἱ Ἀθηναῖοι, οὗτος 'κάκιστ' ἀπόλοισθε[6],' εἶπε 'τοῖς ἔργοις μοι ἀντιλέγοντες.' — 58. Ὁ αὐτὸς εἶπεν· 'ἄτοπόν ἐστιν, ἐπὶ μὲν τὸν λύχνον ἐπιχεῖν ἔλαιον, ἵνα ἐπὶ τῆς τραπέζης ὁρῶμεν, ὅπως δὲ τῇ διανοίᾳ φρονιμώτεροι γενόμενοι κατανοήσομεν[7] τὰ τῷ βίῳ βέλτιστα, μηδὲν ἐθέλειν ἀναλίσκειν.' — 59. Γεωμέτρης τις τὸν Διογένη ἀπαίδευτον καὶ ἀμαθῆ ἐκάλει· ὁ δέ 'συγγίγνωσκέ μοι' ἔφη 'μὴ μαθόντι[8], ἃ μηδὲ Χείρων[9] τὸν Ἀχιλλέα ἐδίδαξε, τοῦτ' ἔστι τὸ γεωμετρεῖν.' — 60. Ὁ αὐτὸς ἔλεγε, τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα[10], ὅπῃ θέλουσι, σχηματίζουσι καὶ ῥυθμίζουσιν, ὀπτηθέντα[11] δ' οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς ἐν νεότητι μὴ διὰ πόνων παιδαγωγηθέντας, τελείους γενομένους, ἀμεταπλάστους γενέσθαι. — 61. Ἤλγει τὸν ὦμον[12] Διογένης τρωθείς[13]. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ[14] κατεκερτόμει λέγων· 'τί οὐκ ἀποθνήσκεις[15], ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν;' Ὁ δὲ εἶπε· 'τοὺς εἰδότας, ἃ δεῖ λέγειν, τούτους[16] γε ζῆν προσήκει. Σοὶ μὲν οὖν οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ[17] ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων πρέπει

---

1) das Particip ist mit wiewohl, da doch aufzulösen. 2) man ergänze: 'es ist kein Wunder, denn auch nicht ꝛc.' 3) die Adjectiva auf *ικός*, welche den Begriff einer Fähigkeit in sich schließen, regieren den Genitiv. 4) unter, in der Mitte. 5) *μηδὲ ὀ. ἔχοντα*, 'ohne auch nur einen O. zu besitzen.' 6) sprüchwörtliche Redensart, entsprechend der deutschen: daß euch der Henker hole. 7) über *ὅπως* mit Fut. Indic. s. Buttm. §. 139, E, 1 (45). 8) daß ich nicht gelernt habe. 9) der Centaur Chiron, aus dessen Schule viele berühmte Männer der Heroenzeit hervorgiengen, soll auch den Achilles auferzogen haben. 10) 'so lange der Thon noch weich ist.' 11) scil. *τὸν πηλόν*. 12) an der Schulter. 13) *τιτρώσκω*. 14) *τῶν τις ἀ. αὐτῷ*, einer seiner Feinde. 15) 'warum gibst du dir nicht den Tod?' 16) das Demonstrativ ist mit Nachdruck nach dem Particip gesetzt: diesen gewiß geziemt es ꝛc. 17) statt *καλόν ἐστιν*.

ζῆν.' — 62. Ἐπεί ποτε ἀγομένων[1] τῶν Ἰσθμίων Διογένης ἐστεφανώσατο τῆς πίτυος[2], πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν[3] τινας ἐκέλευον ἀποθέσθαι τὸν στέφανον καὶ μηδὲν παράνομον ποιεῖν. Ὁ δὲ ἤρετο αὐτοὺς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶσθαι τῆς πίτυος, ἄλλους δὲ[4] οὐ παράνομον; Εἶπεν οὖν τις αὐτῶν, ὅτι οὐ νενίκηκας, ὦ Διόγενες. Ὁ δὲ, 'πολλούς γε[5], εἶπεν 'ἀνταγωνιστὰς καὶ μεγάλους, οὐχ οἷα[6] ταῦτά ἐστι τὰ ἀνδράποδα, τὰ νῦν ἐνταῦθα παλαίοντα καὶ δισκεύοντα καὶ τρέχοντα· τῷ παντὶ[7] δὲ χαλεπωτέρους, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν, ἔτι δὲ ὀργήν τε καὶ λύπην καὶ ἐπιθυμίαν καὶ φόβον καὶ τὸ πάντων ἀμαχώτατόν τε καὶ δυσμαχώτατον θηρίον, ὕπουλον καὶ μαλθακόν, ἡδονήν[8].' — 63. Ὁπότε Φίλιππος ἐλέγετο ἤδη ἐπελαύνειν[9], οἱ Κορίνθιοι πάντες ἐταράττοντο καὶ ἐν ἔργῳ ἦσαν, ὁ μὲν[10] ὅπλα ἐπισκευάζων, ὁ δὲ λίθους παραφέρων, ὁ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὁ δὲ ἔπαλξιν ὑποστηρίζων, ὁ δὲ ἄλλος[11] ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης ὁρῶν ταῦτα, ἐπεὶ μηδὲν εἶχεν, ὅ,τι καὶ πράττοι[12] (οὐδεὶς γὰρ αὐτῷ εἰς οὐδὲν[13] ἐχρῆτο), διαζωσάμενος τὸ τριβώνιον, σπουδῇ μάλα καὶ αὐτὸς[14] ἐκύλιε τὸν πίθον, ἐν ᾧ ἐτύγχανεν οἰκῶν[15], ἄνω καὶ κάτω τοῦ Κρανείου[16]. Καί τινος τῶν συνήθων ἐρομένου· 'τί ταῦτα ποιεῖς[17], ὦ Διόγενες;' 'κυλίω' ἔφη 'κἀγὼ τὸν πίθον, ως μὴ μόνος ἀργεῖν δοκοίην ἐν[18] τοσούτοις ἐργαζομένοις[19].' — 64. Διογένης ὁ κυνικὸς πρᾶσιν ἤνεγκε γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν

1) 'während der Feier der isthmischen Spiele.' 2) mit dem Fichtenkranze (Gen. des Stoffes), den bei den isthmischen Spielen die Sieger als Kampfpreis erhielten. 3) es sind öffentliche Diener verstanden, die bei den Spielen für die Ordnung zu wachen hatten. 4) scil. *ἐστεφανῶσθαι*. 5) scil. *νενίκηκα*. 6) nicht solche wie ꝛc. 7) in jeder Hinsicht. 8) nemlich die Genußsucht. 9) gegen Korinth, um die Zeit der Schlacht bei Chäronea, 338 v. Chr. 10) *ὁ μέν — ὁ δέ*, B. §. 126, 2; C. §. 89, 5. 11) *ὁ δέ* ist nicht mit *ἄλλος* zu verbinden, sondern dient nur dazu, das letzte allgemeine Glied einzuführen: kurz der eine that dies, der andere jenes; vgl. Luc. pro Imagg. c. 14. *ᾐτιᾶτο δὲ ὁ μὲν τὴν ῥῖνα ὡς παχεῖαν, ὁ δὲ ὡς ἐπιμηκέστερον τὸ πρόσωπον, ὁ δὲ ἄλλος ἄλλο τι.* 12) *ἐπεὶ — πράττοι*, 'da er nicht wußte, was er denn eigentlich thun solle.' 13) Buttm. §. 148, 6. 14) auch er. 15) Buttm. §. 144, 6. 16) Theilungsgenetiv: auf dem Kr. 17) 'warum thust du dies, d. i. was willst, bezweckst du damit?' 18) s. S. 91, 4. 19) Diogenes verspottet hiermit sehr fein die vergebliche Geschäftigkeit der Korinthier, die nach dem Untergang der hellenischen Freiheit mit allen ihren plötzlichen Anstrengungen eben so wenig ausrichteten, als er mit dem Hin- und Herrollen seines Fasses.

καὶ πειραταῖς[1] *ἁλοὺς*[2], *ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος*[3] *ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη· 'ἀνθρώπων ἄρχειν.' Ὅτε καὶ δείξας*[4] *τινὰ Κορίνθιον εὐπάρυφον, Ξενιάδην τοὔνομα, ἔφη· 'τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει.' Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης, καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὸν ἐν πᾶσι διετίθει*[5], *ὥστε ἐκεῖνος περιιών, 'ἀγαθὸς' ἔλεγε 'δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε.' Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ*[6] *παιδαγωγικῷ, τοὺς γνωρίμους*[7] *λυτρώσασθαι αὐτὸν θελῆσαι, τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου*[8] *γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι. — Λέγεται δὲ καὶ παρὰ τῷ Ξενιάδῃ γηρᾶσαι καὶ ἀποθανὼν ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ.*

b. Sokrates.

1. *Σωκράτης ὁ φιλόσοφος ἀεὶ ἦν ἐν τῷ φανερῷ*[9]. *Πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει, καὶ πληθούσης*[10] *ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι*[11] *συνέσεσθαι· καὶ ἔλεγε*[12] *μὲν ὡς τὸ πολύ*[13], *τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν.* — 2. *Διελέγετο δὲ ἀεὶ περὶ τῶν ἀνθρωπείων, σκοπῶν, τί εὐσεβὲς τί ἀσεβές, τί καλὸν τί αἰσχρόν, τί δίκαιον τί ἄδικον, τί σωφροσύνη τί μανία, τί ἀνδρεία τί δειλία, τί πόλις, τί πολιτικός, τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς*[14] *ἀνθρώπων, καὶ περὶ τῶν ἄλλων, ἃ*[15] *τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι, τοὺς δ'*

---

1) statt des gewöhnlicheren *ὑπὸ πειρατῶν*, Buttm. §. 134, 4. 2) *ἁλίσκομαι*. 3) d. i. der Ausrufer, der die zu verkaufenden Sklaven feilbot. 4) sc. *τῷ κήρυκι*. 5) 'versetzte ihn in allem in eine solche Stimmung,' d. i. wirkte durch seine Lehren so trefflich auf sein Gemüth ein. 6) 'in seinem Buche, das den Titel führt.' 7) scil. *τοῦ Διογένους*. 8) scil. *εἶναι*, wie das lat. servi esse. 9) das lat. in publico erat, 'zeigte sich immer in der Oeffentlichkeit.' 10) die Zeit der *ἀγορὰ πλήθουσα* war von Morgen bis Mittag. 11) wo er sollte, d. i. erwarten durfte; über den Infin. Fut. nach *μέλλω* s. §. 83, 4, S. 36. 12) *λέγειν* ohne Object entspricht dem lat. disserere. 13) *ὡς τὸ πολύ*, gemeiniglich, meistentheils. 14) s. S. 91, 3. 15) *ἅ* ist Object von *εἰδότας* und dieses Subject des Infinitivsatzes: 'wovon er glaubte, daß diejenigen, die es wüßten ꝛc.'

ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι. — 3. Πολλοὺς δὲ ἐπιθυμητὰς καὶ[1] ἀστοὺς καὶ ξένους λαβών, οὐδένα[2] πώποτε μισθὸν τῆς συνουσίας[3] ἐπράττετο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ[4]· μισθοῦ δ' ἀπεχόμενος ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι· τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν[5] ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι[6] διαλέγεσθαι[7], παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν. Ἐθαύμαζε δ', εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος[8], ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα[9] εὐεργετήσαντι μὴ[10] τὴν μεγίστην χάριν ἕξοι. — 4. Σωκράτης, πολλάκις βιαιότερον[11] ἐν ταῖς ζητήσεσι διαλεγόμενος, ἐγελᾶτο ἢ καὶ ἐκονδυλίζετο· καὶ πάντα ταῦτα ἔφερεν ἀνεξικάκως. Ὅθεν καὶ λακτισθείς ποτε, ἐπειδὴ ἠνέσχετο[12], τινὸς θαυμάσαντος εἶπεν· 'εἰ δέ με ὄνος ἐλάκτισε[13], δίκην ἂν αὐτῷ ἐλάγχανον;' — 5. Σωκράτης ὁ φιλόσοφος, πολλὰ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ μηδὲν δεχόμενος ἐπὶ τούτῳ παρὰ τῆς Ξανθίππης εὐθύνετο, ἔφη· 'ἐὰν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ' αἰτοῦντες[14] τοὺς διδόντας ἕξομεν.' — 6. Ὁ αὐτὸς πρὸς τὸν πυθόμενον, τίς πλουσιώτατος, εἶπεν· 'ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γὰρ φύσεώς ἐστι πλοῦτος.' — 7. Ἰδὼν Ἀντισθένη τὸν κυνικὸν τὸ διερρωγὸς[15] ἱματίου μέρος ἀεὶ ποιοῦντα[16] φανερόν, 'οὐ παύσῃ[17]' ἔφη 'ἐγκαλλωπιζόμενος ἡμῖν;' — 8. Ἑορτῆς οὔσης[18] παρὰ τοῖς Ἀθηναίοις, ἐφιλοτιμήσατο Ἀλκιβιάδης δῶρα

---

1) *καί — καί*, sowohl — als auch. 2) *οὐδένα* ist nicht mit *μισθόν* zu verbinden, sondern dazu *ἐπιθυμητήν* zu ergänzen, da man sagt *πράττεσθαί τινα μισθόν*, 'von einem Lohn, Bezahlung fordern.' 3) für seinen Unterricht. 4) von dem Seinigen. 5) ihrer selbst, d. i. ihrer Freiheit. 6) über den Infin. mit *διά* s. Buttm. §. 140, 5 c. 7) man ergänze *τούτοις*. 8) dadurch, daß er gewinne. 9) *τὰ μ. εὐεργετεῖν*, die größten Wohlthaten erweisen, *ὁ μ. εὐεργετήσας*, der größte Wohlthäter. 10) *φοβοῖτο μὴ — μὴ τ. μ. χ. ἕξοι*, 'befürchte, daß er den größten Dank nicht erweisen werde,' ne non (= ut) maximam gratiam referret. 11) ziemlich heftig; s. S. 85, 7. 12) *ἀνέχομαι*. 13) *εἴ με ἐλάκτ.*, wenn mich geschlagen hätte, s. §. 106, 6, S. 44. 14) 'auch nicht, wenn wir bitten, d. i. auch nicht auf unser Bitten.' 15) *διαρρήγνυμι*. Die Cyniker thaten sich etwas darauf zu Gute, in ihrem Aeußern recht bettelhaft zu erscheinen, was hier Sokrates mit Recht als eine eitle Ziererei bezeichnet. 16) das Particip von *ἰδών* regiert. 17) s. S. 88, 17. 18) *εἰμί*.

πολλὰ πέμψαι τῷ Σωκράτει. Τῆς οὖν Ξανθίππης καταπλαγείσης[1] καὶ τὸν Σωκράτην[2] λαβεῖν αὐτὰ ἀξιούσης, ἔφη· 'ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ Ἀλκιβιάδου φιλοτιμίᾳ παραταξώμεθα[3], μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι'. — 9. Ὁ αὐτὸς ὁρῶν τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον[4] γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθ' ἀναζητεῖν. Ὡς δ' εὗρε[5], προσέταξε καὶ τοὺς ἰδίους ἀγροὺς αὐτοῦ[6] διαθρῆσαι. Τοῦ δὲ εἰπόντος 'ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν,' 'ἐπὶ τούτοις οὖν' εἶπε 'μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν;' — 10. Ὁ αὐτὸς ἔλεγεν, εἴ τις ἐν θεάτρῳ ὑποκηρύττοι ἀνίστασθαι[7] τοὺς σκυτοτόμους, ἐκείνους μόνους ἀναστήσεσθαι· ὁμοίως εἰ τοὺς χαλκοτύπους[8], τοὺς ὑφάντας ἢ τοὺς ἄλλους κατὰ γένος[9]· εἰ δὲ τοὺς φρονίμους ἢ δικαίους, πάντας ἀναστήσεσθαι. Καὶ ἔστιν ἐν βίῳ βλάπτον[10] μάλιστα τὸ ἀνοήτους ὄντας τοὺς πολλοὺς οἴεσθαι φρονίμους εἶναι[11]. — 11. Σωκράτης ἐν γήρᾳ κιθαρίζων[12] παρὰ Κόννῳ τῷ κιθαρῳδῷ ἐτύγχανε· καὶ τινὸς εἰπόντος, 'κιθαρίζεις τηλικοῦτος[13] ὤν;' 'κρεῖττον' εἶπεν 'ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ.' — 12. Σωκράτης Ἀρχελάου τοῦ Μακεδόνων βασιλέως μεταπεμπομένου[14] αὐτόν, ὡς ποιήσοντος[15] πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, ὅτι Ἀθήνησι[16] τέσσαρές εἰσι χοίνικες ἀλφίτων ὀβολοῦ[17] ὤνιοι, καὶ κρῆναι ὕδατος[18] ῥέουσιν. — 13. Ὁ αὐτὸς διαλεγόμενός ποτε, καὶ τινὸς προσαγγείλαντος[19], ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκε, συμπεραιώσας τὴν διάλεξιν 'ἀπίωμεν' ἔφη

1) als d. X. erstaunt war, nemlich über die Menge der Geschenke. 2) Buttm. §. 56, A. 4. 3) 'wir wollen uns zur Seite stellen.' 4) das enthielt. 5) sc. ὁ Ἀλκιβιάδης. 6) adverbial: daselbst. 7) es sollten aufstehn. 8) man ergänze: ἀνίστασθαί τις ὑποκηρύττοι. 9) je nach dem Stande. 10) statt des Adjectivs βλαβερόν. 11) τὸ — εἶναι, 'daß die meisten, wiewohl sie unverständig sind, glauben verständig zu sein.' 12) Buttm. §. 144, A. 6. Unter die Gegenstände der Erziehung gehörte bei den Athenern auch die Erlernung des Citherspielens. 13) in solchem Alter, d. h. so hoch an Jahren. 14) als ihn A. zu sich einlud, an seinen Hof zu kommen. 15) 'mit dem Versprechen, ihn reich zu machen.' 16) Buttm. §. 116, 3; Englm. §. 207. 17) um einen Obolus, s. Buttm. §. 132, 10 c. 18) Buttm. §. 132, 10 a. 19) Es ist im Griech. häufig der Fall, daß ein Gen. absol. mit einem andern Particip durch καί verbunden wird, z. B. Xenoph. Anab. I, 10, 6: καὶ οἱ μὲν Ἕλληνες παρασκευάζονται, ὡς ταύτῃ προσιόντος τοῦ βασιλέως καὶ δεξόμενοι.

'Σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες[1].' — 14. Ἡ Ξανθίππη ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς[2] κατασχουσῶν[3], ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον, καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος, θεάσασθαι. — 15. Ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι[4], τῶν ἀμφὶ τὸν Κρίτωνα[5] ἐρομένων αὐτόν, τίνα τρόπον ταφῆναι θέλει· 'ὅπως ἂν ὑμῖν' ἔφη 'ᾖ ῥᾷστον.' — 16. Σωκράτης ᾐτιᾶτο τῶν πατέρων ἐκείνους, ὅσοι μὴ παιδεύσαντες τοὺς αὑτῶν υἱεῖς, εἶτα ἀπορούμενοι[6] ἦγον ἐπὶ τὰς ἀρχὰς τοὺς νεανίσκους καὶ ἔκρινον αὐτοὺς ἀχαριστίας[7], ὅτι οὐ τρέφονται ὑπ' αὐτῶν· ἔφη γὰρ ἀδύνατον ἀξιοῦν[8] τοὺς πατέρας· μὴ γὰρ οἵους τε[9] εἶναι τοὺς μὴ μαθόντας τὰ δίκαια ποιεῖν αὐτά. — 17. Ὁ αὐτὸς ἐκέλευε τοὺς νέους πολλάκις εἰσοπτρίζεσθαι, τοὺς μὲν εὐπρεπεῖς, ἵνα ὅμοιον ποιοῖεν τῷ εἴδει τὸν τρόπον, τοὺς δὲ ἀμόρφους, ἵνα περιστέλλοιεν τὸ δυσειδὲς τῇ εὐτροπίᾳ. — 18. Σωκράτης Ξενοφῶντα νέον ὁρῶν εὐφυῆ, ἠρώτησεν, εἰ οἶδεν, ὅπου τῆς ἀγορᾶς[10] οἱ ἰχθύες εἶεν· τοῦ δ' εἰπόντος ναί[11], ἑξῆς ἤρετο, τί δὲ τὰ λάχανα[12]; ὡς δ' εἶπε καὶ τοῦτο καὶ τἄλλα ἐπὶ πᾶσιν[13], ἤρετο, εἰ οἶδεν, ὅπου οἱ καλοὶ κἀγαθοὶ διατρίβουσι· σιωπῶντος δὲ ἐπιπλήξας[14] αὐτὸν κατέλιπεν· ὁ δὲ διατραπεὶς ἀπ' ἐκείνου[15] ἤρξατο φιλοσοφεῖν. — 19. Ὁ αὐτὸς ὁρῶν τινα πάντα εἰδέναι φάσκοντα καὶ πολυμάθειαν ὑπισχνούμενον — ἐτύγχανε[16] δὲ εἰς Ἀκαδημίαν συγκατιὼν[16] αὐτῷ — ἐπιστὰς χωρίῳ πεφυτευμένῳ, ἤρετο αὐτόν· 'οὐ δοκεῖ σοι ὁ γεωργὸς ἀμελῆσαι, μὴ

---

1) 'um dem S. die letzte Ehre zu erweisen.' Sophroniskus hieß der Sohn des Sokrates nach dem Namen seines Großvaters, was bei den Griechen gewöhnlich Sitte war. 2) sie selbst, d. i. ihre Familie. 3) *κατέχω*. Der Gen. absol. ist mit wiewohl aufzulösen. 4) *πίνω*. 5) 'als ihn Krito und seine Freunde fragten;' über die Redensart *οἱ ἀμφὶ Κρ.* s. Buttm. §. 150, 25. 6) der Noth, dem Mangel preisgegeben. 7) Es war eine schuldige Pflicht der Kinder, ihre Eltern im Alter zu pflegen und zu ernähren (*γηροβοσκεῖν*); darauf hatten jedoch nur jene eigentlich Anspruch, die ihren Kindern in der Jugend gehörigen Unterricht hatten ertheilen lassen. Daher sagt man *τὰ τροφεῖα ἀποδιδόναι*, den Lohn für die Erziehung den Eltern erstatten. 8) 'die Väter verlangten Unmögliches.' 9) *οἷός τέ εἰμι*, ich bin im Stande. 10) wo auf dem Markte. 11) als dieser es bejahte. 12) vollständig würde es heißen: *τί δὲ* (wie aber) *οἶσθα, ὅπου ἐστὶ τὰ λάχανα*. 13) 'und so auch das übrige bei jeder Frage.' 14) 'als er nun schwieg, machte er ihm Vorwürfe und rc.' 15) von jener Zeit an. 16) er gieng aber eben mit ihm hinab.

καταφυτεύσας πᾶσαν τὴν γῆν, ἀλλὰ διαλείμματα μεταξὺ τῶν δένδρων καταλιπών;' Τοῦ δὲ εἰπόντος 'καὶ μήν, εἰ μὴ τοῦτο ἐποίησεν[1], οὐδὲν ἂν τούτων ἔτι ἐβίω, ἀλλ' ὑπ' ἀλλήλων ἀπώλετο', 'εἶτα[2]' ἔφη 'σὺ ἐν τῇ σεαυτοῦ ψυχῇ οὐδὲ μικρὸν τόπον παραλιπών[3], ἄλλα ἀεὶ ἐπ' ἄλλοις[4] μαθήματα σωρεύων, οἴει τινὰ καρπὸν ἐξ αὐτῶν δρέψεσθαι;' — 20. Σωκράτει Ξανθίππης τῆς γυναικὸς ἐπιτιμώσης, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, 'ὦ γύναι,' εἶπεν 'εἰ μὲν ἡμέτεροί[5] εἰσιν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.' — 21 Ὁ αὐτὸς πρὸς Ξανθίππην, πρότερον μὲν λοιδοροῦσαν, ὕστερον δὲ καὶ περιχέασαν[6] αὐτῷ, 'οὐκ ἔλεγον,' εἶπεν 'ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει[7];' — 22. Πρὸς δ' Ἀλκιβιάδην εἰπόντα 'οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα[8],' 'οὐ καὶ σύ' εἶπε 'χηνῶν βοώντων ἀνέχῃ;' — 23. Σωκράτους φεύγοντος τὴν δίκην[9], Λυσίας ὁ ῥήτωρ ἀπολογίαν γράψας ἦλθεν αὐτῷ κομίζων, καὶ ἐκέλευε χρήσασθαι· τοῦ δὲ Λυσίου εἰπόντος, καὶ μὴν[10] καλλίστην εἶναι αὐτήν, 'καὶ τὰ ῥόδα' ἔφη 'κάλλιστά ἐστιν, ἀλλ' οὐ πρέπει μοι τὸ στεφάνωμα[11]'. 'Τεθνήξῃ[12] τοίνυν,' ἔφη ὁ Λυσίας, 'εἰ μὴ οὕτως ἀπολογήσῃ·' ὁ δέ 'εἰ γάρ' ἔφη 'μὴ νῦν[13], πάντως γε τεθνήξομαι.'

24. Urtheil des Xenophon über Sokrates
am Schlusse seiner Denkwürdigkeiten.

Τῶν Σωκράτην[14] γιγνωσκόντων[15] οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες

1) 'wenn er dies nicht gethan hätte.' 2) und doch. 3) *οὐδὲ — παραλ.*, 'ohne auch nur einen kleinen Platz leer zu lassen.' 4) *ἄλλα ἐπ' ἄλλοις*, 'die einen zu den andern, immer neue über die vorhandenen.' 5) wenn sie unser sind, d. h. wahre Freunde. 6) Buttm. §. 96, A. 1. 7) *ὕδωρ ποιήσει*, wird regnen lassen, womit Xanthippe mit Zeus verglichen wird, dem man den Donner und das Regnen (*Ζεὺς ὕει*) zuschrieb. 8) wenn sie schmäht, nicht 'die schmähende X.' 9) der Artikel steht, weil hier von der bekannten Anklage die Rede ist, in Folge welcher Sokrates den Giftbecher trinken mußte; über die Redensart *δίκην φεύγειν* s. das Wörterverz. 10) *καὶ μήν*, eine Betheuerungsformel: gewiß, wahrhaftig. 11) neml. mit Rosen. 12) s. S. 76, 9. 13) Der Gedankenzusammenhang ist folgender: ich scheue den Tod nicht; denn sterbe ich auch jetzt nicht, so werde ich doch jedenfalls sterben müssen. 14) Attraction statt *τῶν γιγνωσκόντων, οἷος ἦν Σωκράτης*; s. Buttm. §. 151, I, 6. 15) Theilungsgenetiv: 'von denen, welche wissen 2c., sehnen sich alle Tugendfreunde (*οἱ ἀρετῆς ἐφιέμενοι*).'

ἐκεῖνον ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. Ἐμοὶ[1] μὲν δὴ τοιοῦτος ὢν[2], οἷον ἐγὼ διήγημαι, εὐσεβὴς[3] μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δέ[4], ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν[5] μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους αὐτῷ, ἐγκρατὴς δέ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δέ, ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλ' αὐτάρκης[6] εἶναι πρὸς τὴν τούτων[7] κρίσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν καὶ διορίσασθαι τὰ τοιαῦτα[8], ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐξελέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκαγαθίαν, ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός τε ἀνὴρ καὶ εὐδαιμονέστατος. Εἰ δέ τῳ[9] μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλου ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω[10].

---

1) mit *ἐμοὶ μέν* ist das gegen den Schluß des Satzes befindliche *ἐδόκει* zu verbinden. 2) 'indem er so beschaffen war, wie ich ihn geschildert habe, nemlich so gottesfürchtig' ꝛc. 3) die Adjectiva mit den Infinitivsätzen geben die einzelne Ausführung des *τοιοῦτος ὤν*, und enthalten kurz zusammengefaßt, was Xenophon in den Denkwürdigkeiten dargestellt hat. 4) man ergänze *οὕτως*. 5) *μηδὲ μικρόν*, auch nicht ein wenig; über *μικρόν* und das folgende *τὰ μέγιστα* Buttm. §. 131, 8 mit Anm. 12. 6) über den Nominativ mit Infin. s. Buttm. §. 142, 2. 7) scil. *τῶν βελτιόνων καὶ τῶν χειρόνων*. 8) Gegenstände der Art, neml. solche, die auf die Begriffe gut und schlecht Bezug haben. 9) i. e. *τινί*. 10) *παραβάλλων — κρινέτω*, 'so möge er vergleichen und dann urtheilen;' über *οὕτω* s. Buttm. §. 144, 8.

III.

Erzählungen und Charakterzüge aus dem Leben Alexanders des Großen.

1. Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος[1], οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν· ‘ὦ παῖδες, πάντα προλήψεται[2] ὁ πατήρ, ἐμοὶ δ' οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν.’ Τῶν δὲ παίδων λεγόντων, ὅτι[3] ταῦτα σοὶ κτᾶται· ‘τί δὲ ὄφελος’, εἶπεν ‘ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ οὐδέν;’

2. Ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης, καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς Ὀλυμπίασιν ἀγωνίσασθαι στάδιον[4], ‘εἴ γε[5], ἔφη, ‘βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς.’

3. Τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας, ἀποδημοῦντος[6] Φιλίππου, ξενίζων καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ καὶ τῷ[7] μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι μηδὲ μικρόν, ἀλλ' ὁδῶν[8] τε μήκη καὶ πορείας τῆς ἄνω[9] τρόπον ἐκπυνθάνεσθαι[10] καὶ περὶ αὐτοῦ βασι-

---

1) s. §. 67, 1, S. 30. 2) προλαμβάνω. 3) ὅτι wird von den Griechen auch gebraucht, wenn directe Reden eingeführt werden, in welchem Fall es im Deutschen nicht ausgedrückt wird. 4) ἀγων. στάδιον ‘den Kampf in der Rennbahn kämpfen,’ d. i. im Stadion um die Wette laufen, bei welcher Wendung der Accusativ aus der Redensart ἀγωνίζεσθαι ἀγῶνα (s. Nr. 21 in diesem Abschnitt) zu erklären ist. Ganz derselben Art ist der Accusativ in der Redensart Ὀλύμπια νικᾶν (Nr. 12), ‘den Sieg in den olympischen Spielen erringen;’ s. Buttm. §. 131, 7. 5) man ergänze vor εἴ γε: ἠγωνιζόμην ἄν, ich würde mitkämpfen, wenn ich ꝛc. 6) ‘während Phil. außer Landes, abwesend war.’ 7) τῷ — ἐρωτῆσαι, ‘dadurch daß er keine kindische oder unbedeutende Frage an sie richtete.’ 8) welche neml. nach Persien führten. 9) ἡ ἄνω πορεία, die Reise nach Hochasien. 10) zu ἐκπυνθάνεσθαι ist der Artikel τῷ zu ergänzen.

λέως, ὁποῖος[1] εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε[2] θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην[3] Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην.

4. Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγός, 'οὕτως,' εἶπεν 'ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς.' Ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτόν· 'ἀπέσταλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇς πρὸς τοὺς θεούς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν[4].'

5. Ἐξιόντος δὲ αὐτοῦ ἐπὶ τὸν πόλεμον, Ἀριστοτέλης εἶπε· 'περίμεινον τὸ τέλειον τῆς ἡλικίας καὶ τότε πολέμει.' Ὁ δ' Ἀλέξανδρος 'φοβοῦμαι,' εἶπε 'μὴ περιμένων τὸ τέλειον τῆς ἡλικίας τὴν τῆς νεότητος τόλμαν ἀπολέσω.'[5]

6. Ἀλέξανδρος φύσει ὢν φιλολόγος καὶ φιλαναγνώστης, τὴν Ἰλιάδα, τῆς πολεμικῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, εἶχεν ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον[6]. Ἀριστοτέλην δ' ἐθαύμαζε καὶ ἠγάπα οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρός· δι' ἐκεῖνον μὲν γὰρ ἔφη ζῆν, διὰ τοῦτον δὲ καλῶς ζῆν.

7. Παρέλαβε δὲ ἔτη γεγονὼς[7] εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη[8] τὴν δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν Ἑλλάδα κρατήσας[9] τοῖς ὅπλοις ὁ Φίλιππος ἀτρεμοῦσαν ἀπέλιπε. Τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν, ὀξέως ἐπιδραμὼν[10] στρατῷ μέχρι πρὸς τὸν Ἴστρον. Θηβαίους δ' ἀφεστάναι[11] πυθόμενος καὶ συμ-

1) wie er gegen die Feinde sei, d. h. ob tapfer oder feige, ein tüch-
tiger Feldherr oder das Gegentheil. 2) ὥστε hängt von οὕτως ἐχειρώσατ
ab. 3) hier im Sinne von vielgerühmt, allbekannt. 4) Präsen
mit Perfectbedeutung. 5) ἀπόλλυμι. 6) man sollte ὑπὸ τῷ προσκεφαλαί
erwarten; der Accusativ erklärt sich dadurch, daß κειμένην für τεθειμένη
steht (Buttm. §. 109, II, 4): unter das Kopfkissen gelegt. 7) da
lateinische natus. 8) neml. die thracischen und illyrischen Völkerschaften
9) 'das er mit Waffengewalt bezwungen hatte.' 10) ἐπιτρέχω. 11) Buttm
§. 107, Anm. II, 3 (23); Englm. §. 191, Anm.

φρονεῖν αὐτοῖς Ἀθηναίους, εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπών, ὅτι Δημοσθένει, παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. Ἡ μὲν οὖν Θηβαίων πόλις ἑάλω[1] καὶ διαρπασθεῖσα κατεσκάφη, προσδοκήσαντος αὐτοῦ, τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν· Ἀθηναίοις δὲ διηλλάγη καὶ ἀφῆκεν[2] αἰτίας πάσης.

8. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταὐτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε[3] δὲ κατακείμενος ἐν ἡλίῳ. Καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνδρῶν τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δ' ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει[4] δεόμενος, 'μικρόν' εἶπεν 'ἀπὸ τοῦ ἡλίου μετάστηθι.' Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα[5] τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε τῶν περὶ αὐτόν[6], ὡς ἀπήεσαν, διαγελώντων καὶ σκοπτόντων, 'ἀλλὰ μὴν ἐγώ,' εἶπεν 'εἰ μὴ Ἀλέξανδρος ἤμην[7], Διογένης ἂν ἤμην.'

9. Βουλόμενος δὲ τῷ θεῷ[8] χρήσασθαι περὶ τῆς ἐπὶ Πέρσας στρατείας ἦλθεν εἰς Δελφούς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν[9] τὴν πρόμαντιν· ὡς δ' ἀρνουμένης[10] καὶ προϊσχομένης τὸν νόμον αὐτὸς ἀναβὰς[11] βίᾳ πρὸς τὸν

---

1) ἁλίσκομαι. 2) scil. αὐτούς. 3) Buttm. §. 144, A. 6. 4) in τυγχάνειν liegt hier der Begriff des deutschen vielleicht, etwa. 5) 'wiewohl er war verachtet worden,' d. i. wiewohl Diog. sich aus ihm nichts machte. 6) als seine Begleiter lachten. 7) statt des gewöhnlichen ἦν, s. Buttm. §. 108, IV, 2. 8) den Gott in Delphi, d. i. den Apollo. 9) scil. θεμιστεύειν. 10) 'auf ihre Weigerung und Berufung auf das Gesetz,' mit Ergänzung von αὐτῆς. Das folgende Partic. ἀναβάς mit und aufzulösen. 11) neml. zum Tempelgebäude.

ναὸν εἷλκεν αὐτήν, ἡ δ'[1] ὥσπερ ἐξηττημένη[2] τῆς σπουδῆς εἶπεν, 'ἀνίκητος εἶ, ὦ παῖ'· τοῦτο[3] ἀκούσας Ἀλέξανδρος οὐκέτι ἔφη χρήζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν ὃν ἐβούλετο παρ' αὐτῆς χρησμόν.

10. Ἐλθὼν δ' εἰς Ἴλιον ἔθυσε τῇ Ἀθηνᾷ καὶ τοῖς ἥρωσιν ἔσπεισε[4]· τὴν δ' Ἀχιλλέως στήλην ἐστεφάνωσε, μακαρίσας αὐτόν, ὅτι καὶ ζῶν φίλου πιστοῦ[5] καὶ τελευτήσας μεγάλου κήρυκος[6] ἔτυχεν.

11. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας[7] ἐκ τῶν πολεμίων[8].

12. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια[9] καὶ Πύθια νενικηκότων· 'καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα,' ἔφη 'ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν;'

13. Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν, οὐκ ἐπῄνεσε[10] κατὰ τὴν ἀξίαν τοῦ γράμματος. Εἰσαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινόν, 'ὦ βασιλεῦ,' εἶπεν ὁ Ἀπελλῆς 'ἀλλ' ὅ γε[11] ἵππος ἔοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ.'

14. Ὡς δὲ ἡ τῶν Καρῶν βασίλισσα Ἄδα πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιούς, ἔφη τούτων μηδενὸς δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν, ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν τὸ ἄριστον νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον ὀλιγαριστίαν.

15. Ὅτε Ἀλέξανδρος τὴν ἐν Ἰσσῷ μάχην ἀγωνιεῖσθαι[12] ἔμελλεν, ἕωθεν εἰσελθὼν εἰς τὴν σκηνὴν αὐτοῦ ὁ Ἡφαιστίων,

---

1) und diese. 2) 'gleichsam besiegt, d. i. unterliegend seinem Ungestüm.' 3) hier beginnt der Nachsatz zu dem mit ὡς eingeleiteten Vordersatze. 4) σπένδω. 5) neml. den Patroklus. 6) vgl. Cic. p. Arch. 10, 24: Magnus ille Alexander, cum in Sigeo ad Achillis tumulum adstitisset, O fortunate, inquit, adolescens, qui tuae virtutis Homerum praeconem inveneris! 7) ὡς δειπνήσ. weil sie speisen würden. 8) ist Neutr.: von dem Gut (copiis) der Feinde. 9) s. S. 99, 4. 10) man ergänze αὐτήν. 11) ἀλλά — γε, aber wenigstens, d. i. gewiß doch, wahrhaftig, das lat. at certe. 12) Buttm. §. 95, 9; E. §. 172. Ueber μάχην ἀγωνίζεσθαι s. Buttm. §. 131, 4 u. o. S. 99, 4.

εἴτ' ἐπιλαθόμενος[1] εἴτ' ἐκταραχθεὶς εἴτε καὶ θεοῦ τινος τοῦτο καταναγκάσαντος, ἔφη· 'ὑγίαινε[2], βασιλεῦ, καιρὸς ἤδη παρατάττεσθαι.' Ταραχθέντων δὲ τῶν παρόντων πρὸς τὸ παράδοξον τῆς προσαγορεύσεως καὶ τοῦ Ἡφαιστίωνος ὀλίγου δεῖν[3] ὑπ' αἰδοῦς ἐκθανόντος, Ἀλέξανδρος 'δέχομαι'[4] εἶπε 'τὴν κληδόνα· τὸ[5] γὰρ σῴους[6] ἐπανήξειν ἀπὸ τῆς μάχης ἤδη μοι ὑπέσχηται[7].'

16. Δαρείου μετὰ τὴν ἐπ' Ἰσσῷ μάχην πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν καὶ φίλους δεομένους, μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν[8] τάλαντα, τὴν[9] δ' ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα καὶ γήμαντα[10] μίαν τῶν θυγατέρων[11] φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος, 'ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην[12], ἔλαβον ἂν ταῦτα·' 'κἀγὼ νὴ Δία,' εἶπεν ὁ Ἀλέξανδρος 'εἰ Παρμενίων[13].

17. Προτρεπομένων δὲ τινῶν αὐτὸν ἰδεῖν τὰς Δαρείου θυγατέρας καὶ τὴν κάλλει διαφέρουσαν εἰς γυναῖκα λαβεῖν, 'αἰσχρόν[14] ἔφη 'τοὺς[15] ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττᾶσθαι.'

18. Τῶν δὲ μισθοφορούντων Ἑλλήνων παρὰ τοῖς Πέρσαις[16] ὑποχειρίων γενομένων, τοὺς μὲν Ἀθηναίους ἐκέλευσεν ἐν πέδαις φυλάττειν, ὅτι τροφὴν ἔχοντες ἐκ δημοσίου[17] μισθοφοροῦσι, καὶ τοὺς Θεσσαλούς, ὅτι τὴν ἀρίστην[18] κεκτημένοι οὐ γεωργοῦσι· τοὺς δὲ Θηβαίους ἀφῆκεν, εἰπών, ὅτι[19] μόνοις τούτοις οὔτε πόλις οὔτε χώρα δι' ἡμᾶς ἀπολέλειπται.

---

1) *εἴτ' ἐπιλαθόμενος* etc. 'sei es aus Vergessenheit, oder 2c.' 2) *ὑγίαινε*, lebe gesund, lebe wohl, war die gewöhnliche Abschiedsformel, während *χαῖρε*, sei gegrüßt, die Bewillkommnung beim ersten Begegnen war. Wie konnte hier das *ὑγίαινε* als ein schlimmes Omen gedeutet werden? 3) *ὀλίγου δεῖν*, so daß wenig fehlte, fast. 4) 'ich lasse den Zuruf gelten,' wie das lat. omen accipio. Nach den Begriffen der Alten konnte man neml. ein scheinbar ungünstiges Zeichen durch eine glückliche Deutung in ein günstiges umwandeln. 5) Buttm. §. 140, 5. 6) man ergänze als Subject *ἡμᾶς*. Alexander faßt die Begrüßung im wörtlichen Sinne, wornach ihm und den Seinigen Gesundheit und Wohlbehaltenheit verheißen war. 7) *ὑπισχνέομαι*. Ueber die Passivbedeutung s. Buttm. §. 113, A. 6. 8) *λαβεῖν*, daß er nehmen — *φίλον εἶναι*, Freund sein möge. 9) *τὴν* sc. *χώραν*, 'das Land innerhalb, d. i. diesseits des Euphrats.' 10) *γαμέω*. 11) des Darius. 12) s. S. 101, 7. 13) scil. *ἤμην*. 14) scil. *ἐστί*. 15) der Artikel gehört zu *νικήσαντας*, von welchem Particip *ἄνδρας* regiert ist. 16) *παρὰ τοῖς Πέρσαις* gehört zu *μισθοφορούντων*. 17) Alexander sagt dies in Bezug auf die Vertheilungen (*διανομαί*) und sonstigen Bezüge (bes. die *θεωρικά*), welche der athenische Bürger aus der Staatscasse genoß. 18) scil. *χώραν*. 19) s. S. 99, 3.

19. *Ἀλέξανδρος τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος ἤλαυνεν ἐπὶ Δαρεῖον, ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα*[1]. *Καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους*[2] *παίζοντας εἰς δύο μέρη διῃρηκέναι σφᾶς αὐτούς*[3], *ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον*[4], *τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ καὶ μέχρι λίθων καὶ ξύλων*[5]. *Ταῦτ' ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας· καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. Ἐθεᾶτο δ' ὁ στρατός, ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. Ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας καὶ στολῇ Περσικῇ χρῆσθαι*[6].

20. *Μέλλοντι δὲ αὐτῷ περὶ τῶν ὅλων*[7] *ἐν Ἀρβήλοις κινδυνεύειν, προσῄεσαν οἱ φίλοι, τῶν στρατιωτῶν κατηγοροῦντες, ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν*[8], *ἀλλ' αὐτοὶ*[9] *κερδανοῦσιν· ὁ δὲ μειδιάσας 'ἀγαθὰ' φησίν 'ἀγγέλλετε· νικᾶν*[10] *γὰρ ἀνδρῶν, οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς.'*

21. *Ἐν δὲ τῇ νυκτὶ τῇ πρὸ τῆς ἐν Ἀρβήλοις μάχης ὕπνῳ βαθεῖ ἐκρατήθη παρὰ τὸ εἰωθός, ὥστε θαυμάζειν ἐπελθόντας ὄρθρου*[11] *τοὺς ἡγεμόνας καὶ παρ' αὐτῶν*[12] *ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα*

---

1) es heißt *καταβαίνειν*, weil Darius von Susa in die Ebenen am Tigris, an dem Arbela lag, herabzog. 2) unter den *ἀκόλουθοι* können nur Leute aus der nächsten Umgebung des Alexander, nicht das eigentliche Kriegsheer verstanden werden; vielleicht waren es die sogenannten *πεζέταιροι*, welche eine Art Leibwache des Königs bildeten. 3) *σφᾶς αὐτούς* = *ἑαυτούς*. 4) *Ἀλέξανδρον* ist Prädicat: der eine genannt Alexander ꝛc. 5) *τέλος — ξύλων*, 'zuletzt seien sie in ihrem Eifer erhitzt sogar bis zu Steinwürfen und Prügeleien geschritten.' 6) 'die Erlaubniß, ein persisches Gewand zu tragen,' welche von Alexander nur den vorzüglichsten seiner Krieger eingeräumt wurde. 7) *περὶ τῶν ὅλων κινδ.*, den Entscheidungskampf führen, de summa rerum decertare. 8) *ἀναφέρω*. 9) für sich, d. i. allein. 10) die Construction ist: *ἀκούω γὰρ διαλογισμοὺς ἀνδρῶν παρεσκευασμένων νικᾶν, οὐ φεύγειν*. 11) 'als sie in der Morgendämmerung in sein Gezelt kamen.' Ueber den Genetiv *ὄρθρου* s. Buttm. §. 132, 5 b. 12) in ihrem Namen.

τοῦ καιροῦ κατεπείγοντος εἰσελθὼν Παρμενίων καὶ παραστὰς τῇ κλίνῃ δὶς ἢ τρὶς αὐτοῦ ἐφθέγξατο τοὔνομα, καὶ διεγερθέντος οὕτως ἠρώτα, ὅ,τι δὴ πεπονθὼς[1] ὕπνον καθεύδοι νενικηκότος[2], οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. Ὁ δ' οὖν Ἀλέξανδρος εἶπε διαμειδιάσας· 'τί γάρ[3]; οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ χώρᾳ φυγομαχοῦντα Δαρεῖον;'

22. Παρατασσομένου δὲ τοῦ στρατεύματος, ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, ἐξέωσε[4] τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις.

23. Ἀλέξανδρος φύσει ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο[5], τῶν πραγμάτων αὐξανομένων[6], καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. Ἀρίστων μὲν γὰρ ὁ τῶν Παιόνων ἡγούμενος ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, 'τοῦτ',' εἶπεν 'ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον[7].' Ὁ δ' Ἀλέξανδρος γελάσας 'κενοῦ γε[8]' εἶπεν· 'ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι.'

24. Τῶν δὲ πολλῶν[9] τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. Ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα καὶ πυθόμενος τὸ πρᾶγμα[10], μέλλοντος[11] κατατίθεσθαι, 'μὴ κάμῃς,' εἶπεν 'ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδόν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τοῦτο κομίσας.'

25. Ὅλως δ' ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσι. Καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολήν, ὡς[12] οὐ χρησόμενος αὐτῷ[13] φίλῳ τὸ λοιπόν, εἰ διωθοῖτο τὰς χάριτας.

---

1) 'was ihm doch begegnet wäre, daß er ꝛc.' 2) *ὕπνον καθεύδειν νενικηκότος*, den Schlaf eines Siegers schlafen, d. h. so fest schlafen, als hätte er schon gesiegt. 3) was denn? wie so? d. i. warum sollte ich nicht so ruhig schlafen? 4) *ἐξωθέω*. 5) scil. *εἰς τὸ μεγάλα καὶ πολλὰ δωρεῖσθαι*. 6) 'als seine Macht stieg, im Fortgang seines Glücks.' 7) ist mit *τοῦτο* zu verbinden. 8) 'ja wohl mit einem leeren,' scil. *ἐκπώματος τιμᾶται*. 9) ein gemeiner Mac. 10) den Sachverhalt, wie es neml. kam, daß der Mensch eine so große Last und für wen er sie trug. 11) scil. *αὐτοῦ*; vgl. S. 101, 10. 12) 'mit der Versicherung, daß er ꝛc.' 13) *χρῆσθαί τινι φίλῳ*, einen zum Freunde haben.

Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας[1] τινὶ νεανίσκων οὐδὲν ἐδίδου διὰ τὸ μηδὲν αἰτεῖν. Ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος ὁ Σεραπίων ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος τοῦ βασιλέως· 'ἐμοὶ δ' οὐ δίδως;' 'οὐ γὰρ αἰτεῖς' εἶπε. Τούτῳ δὴ γελάσας πολλὰ ἔδωκεν.

26. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι· τῶν δὲ φίλων δεομένων κἀκείνου δακρύοντος, ἔφη[2] διαλλάττεσθαι, κἀκεῖνος 'οὐκοῦν,' εἶπεν 'ὦ βασιλεῦ, δός τί μοι πιστὸν πρῶτον.' Ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι.

27. Ξενοκράτει δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· 'ἐμοὶ μὲν γὰρ' ἔφη 'μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν.'

28. Περιλάου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δὲ φήσαντος, ἱκανὰ εἶναι δέκα· 'σοί γε' ἔφη 'λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι.'

29. Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος, ὡς ἑκατὸν αἰτεῖται τάλαντα· 'καλῶς' ἔφη 'ποιεῖ, γιγνώσκων, ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.'

30. Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγιγνώσκων, ἀπορρήτους λόγους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, συναναγιγνώσκοντος, οὐκ ἐκώλυσεν· ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος[3] τὸν ἑαυτοῦ, τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν.

31. Ἐν δὲ Ἄμμωνος[4] ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς, 'οὐδέν γε' ἔφη 'θαυμαστόν· πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ[5] δὲ ποιεῖται τοὺς ἀρίστους.'

32. Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον[6] τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν,

1) einer der Jünglinge, mit denen er Ball zu spielen pflegte. 2) scil. ὁ Ἀλέξανδρος. 3) ἀφαιρέω. 4) scil. ἱερῷ. Diese auch im Lat. gewöhnliche Ellipse (z. B. ventum erat ad Vestae) findet sich nur in Verbindung mit einer Präposition. 5) zu seinen Kindern macht er, d. h. er würdigt, daß seine Kinder heißen ꝛc. 6) συντρέχω.

μειδιῶν τῷ προσώπῳ, ‘τοῦτο μὲν αἷμα[1],’ εἶπεν ‘ὡς ὁρᾶτε, καὶ οὐκ

ἰχὼρ[2], οἷός πέρ τε ῥέει μακάρεσσι[3] θεοῖσιν[4].’

33. Νοσήσας δέ ποτε μακρὰν νόσον, ὡς ἀνέρρωσεν[5], ‘οὐδέν’ ἔφη ‘διετέθην χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ τύχη, μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας.’

34. Πυθόμενος δέ ποτε ὑπό τινος λοιδορεῖσθαι, ‘βασιλικόν’ ἔφη ‘ἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν[6].’

35. Ὁ αὐτὸς ἐρωτηθείς, ποῖος βασιλεὺς ἄριστος, ἔφη· ‘ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φίλους ποιούμενος.’

36. Ἐρωτηθεὶς δὲ ὑπό τινος, ποῦ τοὺς θησαυροὺς ἔχει, δείξας τοὺς φίλους ἔφη· ‘ἐν τούτοις.’

37. Ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν· ‘οὐ βασιλικόν ἐστι κλέψαι τὴν νίκην.’

38. Θεασάμενος δέ τινα ὁμώνυμον αὐτῷ δειλὸν ὄντα, ἔφη· ‘νεανίσκε, ἢ τοὔνομα ἄλλαξον ἢ τὸν τρόπον.’

39. Τοῦ δ’ οἰνοχόου αὐτοῦ ἀπολέσαντος φιάλην χρυσῆν καὶ διὰ τοῦτο φοβουμένου, Ἀλέξανδρος μαθὼν τοῦτο, προσκαλεσάμενος εἶπε· ‘θάρρει, ὦ παῖ· ὅπου γὰρ ἂν ᾖ[7], ἡμετέρα ἐστίν.’

40. Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ἐπετίμησε πρᾴως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ[8] τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθέντων[9] οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν[10], οὐδ’ ὁρῶσι, τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. Ὀυκ ἴστε,’ εἶπεν ‘ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις[11];’

---

1) ‘menschliches Blut und nicht Götterblut.’ 2) ein Vers aus der Iliade V, 340. 3) Buttm. §. 46, Anm. 2. 4) Buttm. §. 34, Anm. IV, 6. 5) ἀναρρώννυμι. 6) κακῶς ἀκούειν (das lat. male audire) ist soviel als κακῶς λέγεσθαι, geschmäht, verleumdet werden. 7) scil. ἡ φιάλη. 8) statt ὅτι, wie man nach deutscher Ausdrucksweise erwarten sollte. 9) der Gen. hängt von ἥδιον ab. 10) damit deutet Al. an, daß ein süßer Schlaf nicht von weichen Polstern abhängt. 11) ‘das nemliche wie die Besiegten;’ s. Buttm. §. 133, 2 f.

λέως, ὁποῖος[1] *εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε*[2] *θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην*[3] *Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην.*

4. *Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγός, ‘οὕτως,’ εἶπεν ‘ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς.’ Ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτόν· ‘ἀπέσταλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇς πρὸς τοὺς θεούς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν*[4].’

5. *Ἐξιόντος δὲ αὐτοῦ ἐπὶ τὸν πόλεμον, Ἀριστοτέλης εἶπε· ‘περίμεινον τὸ τέλειον τῆς ἡλικίας καὶ τότε πολέμει.’ Ὁ δ' Ἀλέξανδρος ‘φοβοῦμαι,’ εἶπε ‘μὴ περιμένων τὸ τέλειον τῆς ἡλικίας τὴν τῆς νεότητος τόλμαν ἀπολέσω.’*[5]

6. *Ἀλέξανδρος φύσει ὢν φιλολόγος καὶ φιλαναγνώστης, τὴν Ἰλιάδα, τῆς πολεμικῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, εἶχεν ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον*[6]. *Ἀριστοτέλην δ' ἐθαύμαζε καὶ ἠγάπα οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρός· δι' ἐκεῖνον μὲν γὰρ ἔφη ζῆν, διὰ τοῦτον δὲ καλῶς ζῆν.*

7. *Παρέλαβε δὲ ἔτη γεγονὼς*[7] *εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη*[8] *τὴν δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν Ἑλλάδα κρατήσας*[9] *τοῖς ὅπλοις ὁ Φίλιππος ἀτρεμοῦσαν ἀπέλιπε. Τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν, ὀξέως ἐπιδραμὼν*[10] *στρατῷ μέχρι πρὸς τὸν Ἴστρον. Θηβαίους δ' ἀφεστάναι*[11] *πυθόμενος καὶ συμ-*

1) wie er gegen die Feinde sei, d. h. ob tapfer oder feige, ein tüchtiger Feldherr oder das Gegentheil. 2) *ὥστε* hängt von *οὕτως ἐχειρώσατο* ab. 3) hier im Sinne von vielgerühmt, allbekannt. 4) Präsens mit Perfectbedeutung. 5) *ἀπόλλυμι.* 6) man sollte *ὑπὸ τῷ προσκεφαλαίῳ* erwarten; der Accusativ erklärt sich dadurch, daß *κειμένην* für *τεθειμένην* steht (Buttm. §. 109, II, 4): unter das Kopfkissen gelegt. 7) das lateinische natus. 8) neml. die thracischen und illyrischen Völkerschaften. 9) ‘das er mit Waffengewalt bezwungen hatte.’ 10) *ἐπιτρέχω.* 11) Buttm. §. 107, Anm. II, 3 (23); Englm. §. 191, Anm.

φρονεῖν αὐτοῖς Ἀθηναίους, εὐθὺς ἦγε διὰ Πυλῶν την δύναμιν, εἰπών, ὅτι Δημοσθένει, παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. Ἡ μὲν οὖν Θηβαίων πόλις ἑάλω[1] καὶ διαρπασθεῖσα κατεσκάφη, προσδοκήσαντος αὐτοῦ, τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν· Ἀθηναίοις δὲ διηλλάγη καὶ ἀφῆκεν[2] αἰτίας πάσης.

8. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταὐτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε[3] δὲ κατακείμενος ἐν ἡλίῳ. Καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνδρῶν τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δ' ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει[4] δεόμενος, ‘μικρόν’ εἶπεν ‘ἀπὸ τοῦ ἡλίου μετάστηθι.’ Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα[5] τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε τῶν περὶ αὐτόν[6], ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκοπτόντων, ‘ἀλλὰ μὴν ἐγώ,’ εἶπεν ‘εἰ μὴ Ἀλέξανδρος ἤμην[7], Διογένης ἂν ἤμην.’

9. Βουλόμενος δὲ τῷ θεῷ[8] χρήσασθαι περὶ τῆς ἐπὶ Πέρσας στρατείας ἦλθεν εἰς Δελφούς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν[9] τὴν πρόμαντιν· ὡς δ' ἀρνουμένης[10] καὶ προϊσχομένης τὸν νόμον αὐτὸς ἀναβὰς[11] βίᾳ πρὸς τὸν

1) ἁλίσκομαι. 2) scil. αὐτούς. 3) Buttm. §. 144, A. 6. 4) in τυγχάνειν liegt hier der Begriff des deutschen vielleicht, etwa. 5) ‘wiewohl er war verachtet worden,’ d. i. wiewohl Diog. sich aus ihm nichts machte. 6) als seine Begleiter lachten. 7) statt des gewöhnlichen ἦν, s. Buttm. §. 108, IV, 2. 8) den Gott in Delphi, d. i. den Apollo. 9) scil. θεμιστεύειν. 10) ‘auf ihre Weigerung und Berufung auf das Gesetz,’ mit Ergänzung von αὐτῆς. Das folgende Partic. ἀναβάς mit und aufzulösen. 11) neml. zum Tempelgebäude.

ναὸν εἷλκεν αὐτήν, ἡ δ'[1] ὥσπερ ἐξηττημένη[2] τῆς σπουδῆς εἶπεν, 'ἀνίκητος εἶ, ὦ παῖ'· τοῦτο[3] ἀκούσας Ἀλέξανδρος οὐκέτι ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν ὃν ἐβούλετο παρ' αὐτῆς χρησμόν.

10. Ἐλθὼν δ' εἰς Ἴλιον ἔθυσε τῇ Ἀθηνᾷ καὶ τοῖς ἥρωσιν ἔσπεισε[4]· τὴν δ' Ἀχιλλέως στήλην ἐστεφάνωσε, μακαρίσας αὐτόν, ὅτι καὶ ζῶν φίλου πιστοῦ[5] καὶ τελευτήσας μεγάλου κήρυκος[6] ἔτυχεν.

11. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας[7] ἐκ τῶν πολεμίων[8].

12. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια[9] καὶ Πύθια νενικηκότων· 'καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα,' ἔφη 'ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν;'

13. Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν, οὐκ ἐπῄνεσε[10] κατὰ τὴν ἀξίαν τοῦ γράμματος. Εἰσαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινόν, 'ὦ βασιλεῦ,' εἶπεν ὁ Ἀπελλῆς 'ἀλλ' ὅ γε[11] ἵππος ἔοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ.'

14. Ὡς δὲ ἡ τῶν Καρῶν βασίλισσα Ἄδα πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιούς, ἔφη τούτων μηδενὸς δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν, ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν τὸ ἄριστον νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον ὀλιγαριστίαν.

15. Ὅτε Ἀλέξανδρος τὴν ἐν Ἰσσῷ μάχην ἀγωνιεῖσθαι[12] ἔμελλεν, ἕωθεν εἰσελθὼν εἰς τὴν σκηνὴν αὐτοῦ ὁ Ἡφαιστίων,

1) und diese. 2) 'gleichsam besiegt, d. i. unterliegend seinem Ungestüm.' 3) hier beginnt der Nachsatz zu dem mit *ὡς* eingeleiteten Vordersatze. 4) *σπένδω*. 5) neml. den Patroklus. 6) vgl. Cic. p. Arch. 10, 24: Magnus ille Alexander, cum in Sigeo ad Achillis tumulum adstitisset, O fortunate, inquit, adolescens, qui tuae virtutis Homerum praeconem inveneris! 7) *ὡς δειπνήσ.* weil sie speisen würden. 8) ist Neutr.: von dem Gut (copiis) der Feinde. 9) s. S. 99, 4. 10) man ergänze *αὐτήν*. 11) *ἀλλά — γε*, aber wenigstens, d. i. gewiß doch, wahrhaftig, das lat. at certe. 12) Buttm. §. 95, 9; E. §. 172. Ueber *μάχην ἀγωνίζεσθαι* s. Buttm. §. 131, 4 u. o. S. 99, 4.

εἴτ' ἐπιλαθόμενος[1] εἴτ' ἐκταραχθεὶς εἴτε καὶ θεοῦ τινος τοῦτο καταναγκάσαντος, ἔφη· 'ὑγίαινε[2], βασιλεῦ, καιρὸς ἤδη παρατάττεσθαι.' Ταραχθέντων δὲ τῶν παρόντων πρὸς τὸ παράδοξον τῆς προσαγορεύσεως καὶ τοῦ Ἡφαιστίωνος ὀλίγου δεῖν[3] ὑπ' αἰδοῦς ἐκθανόντος, Ἀλέξανδρος 'δέχομαι'[4] εἶπε 'τὴν κληδόνα· τὸ[5] γὰρ σῴους[6] ἐπανήξειν ἀπὸ τῆς μάχης ἤδη μοι ὑπέσχηται[7].'

16. Δαρείου μετὰ τὴν ἐπ' Ἰσσῷ μάχην πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν καὶ φίλους δεομένους, μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν[8] τάλαντα, τὴν[9] δ' ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα καὶ γήμαντα[10] μίαν τῶν θυγατέρων[11] φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος, 'ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην[12], ἔλαβον ἂν ταῦτα·' 'κἀγὼ νὴ Δία,' εἶπεν ὁ Ἀλέξανδρος 'εἰ Παρμενίων[13].

17. Προτρεπομένων δὲ τινῶν αὐτὸν ἰδεῖν τὰς Δαρείου θυγατέρας καὶ τὴν κάλλει διαφέρουσαν εἰς γυναῖκα λαβεῖν, 'αἰσχρόν[14] ἔφη 'τοὺς[15] ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττᾶσθαι.'

18. Τῶν δὲ μισθοφορούντων Ἑλλήνων παρὰ τοῖς Πέρσαις[16] ὑποχειρίων γενομένων, τοὺς μὲν Ἀθηναίους ἐκέλευσεν ἐν πέδαις φυλάττειν, ὅτι τροφὴν ἔχοντες ἐκ δημοσίου[17] μισθοφοροῦσι, καὶ τοὺς Θεσσαλούς, ὅτι τὴν ἀρίστην[18] κεκτημένοι οὐ γεωργοῦσι· τοὺς δὲ Θηβαίους ἀφῆκεν, εἰπών, ὅτι[19] μόνοις τούτοις οὔτε πόλις οὔτε χώρα δι' ἡμᾶς ἀπολέλειπται.

---

1) *εἴτ' ἐπιλαθόμενος* etc. 'sei es aus Vergessenheit, oder ꝛc.' 2) *ὑγίαινε*, lebe gesund, lebe wohl, war die gewöhnliche Abschiedsformel, während *χαῖρε*, sei gegrüßt, die Bewillkommnung beim ersten Begegnen war. Wie konnte hier das *ὑγίαινε* als ein schlimmes Omen gedeutet werden? 3) *ὀλίγου δεῖν*, so daß wenig fehlte, fast. 4) 'ich lasse den Zuruf gelten,' wie das lat. omen accipio. Nach den Begriffen der Alten konnte man neml. ein scheinbar ungünstiges Zeichen durch eine glückliche Deutung in ein günstiges umwandeln. 5) Buttm. §. 140, 5. 6) man ergänze als Subject *ἡμᾶς*. Alexander faßt die Begrüßung im wörtlichen Sinne, wornach ihm und den Seinigen Gesundheit und Wohlbehaltenheit verheißen war. 7) *ὑπισχνέομαι*. Ueber die Passivbedeutung s. Buttm. §. 113, A. 6. 8) *λαβεῖν*, daß er nehmen — *φίλον εἶναι*, Freund sein möge. 9) *τὴν* sc. *χώραν*, 'das Land innerhalb, d. i. diesseits des Euphrats.' 10) *γαμέω*. 11) des Darius. 12) s. S. 101, 7. 13) scil. *ἤμην*. 14) scil. *ἐστί*. 15) der Artikel gehört zu *νικήσαντας*, von welchem Particip *ἄνδρας* regiert ist. 16) *παρὰ τοῖς Πέρσαις* gehört zu *μισθοφορούντων*. 17) Alexander sagt dies in Bezug auf die Vertheilungen (*διανομαί*) und sonstigen Bezüge (bes. die *θεωρικά*), welche der athenische Bürger aus der Staatscasse genoß. 18) scil. *χώραν*. 19) s. S. 99, 3.

19. *Ἀλέξανδρος τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος ἤλαυνεν ἐπὶ Δαρεῖον, ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα*[1]. *Καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους*[2] *παίζοντας εἰς δύο μέρη διῃρηκέναι σφᾶς αὐτούς*[3], *ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον*[4], *τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ καὶ μέχρι λίθων καὶ ξύλων*[5]. *Ταῦτ' ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας· καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. Ἐθεᾶτο δ' ὁ στρατὸς, ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. Ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας καὶ στολῇ Περσικῇ χρῆσθαι*[6].

20. *Μέλλοντι δὲ αὐτῷ περὶ τῶν ὅλων*[7] *ἐν Ἀρβήλοις κινδυνεύειν, προσῄεσαν οἱ φίλοι, τῶν στρατιωτῶν κατηγοροῦντες, ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν*[8], *ἀλλ' αὐτοὶ*[9] *κερδανοῦσιν· ὁ δὲ μειδιάσας 'ἀγαθὰ' φησίν 'ἀγγέλλετε· νικᾶν*[10] *γὰρ ἀνδρῶν, οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς.'*

21. *Ἐν δὲ τῇ νυκτὶ τῇ πρὸ τῆς ἐν Ἀρβήλοις μάχης ὕπνῳ βαθεῖ ἐκρατήθη παρὰ τὸ εἰωθός, ὥστε θαυμάζειν ἐπελθόντας ὄρθρου*[11] *τοὺς ἡγεμόνας καὶ παρ' αὐτῶν*[12] *ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα*

---

1) es heißt *καταβαίνειν*, weil Darius von Susa in die Ebenen am Tigris, an dem Arbela lag, herabzog. 2) unter den *ἀκόλουθοι* können nur Leute aus der nächsten Umgebung des Alexander, nicht das eigentliche Kriegsheer verstanden werden; vielleicht waren es die sogenannten *πεζέταιροι*, welche eine Art Leibwache des Königs bildeten. 3) *σφᾶς αὐτούς* = *ἑαυτούς*. 4) *Ἀλέξανδρον* ist Prädicat: der eine genannt Alexander rc. 5) *τέλος — ξύλων*, 'zuletzt seien sie in ihrem Eifer erhitzt sogar bis zu Steinwürfen und Prügeleien geschritten.' 6) 'die Erlaubniß, ein persisches Gewand zu tragen,' welche von Alexander nur den vorzüglichsten seiner Krieger eingeräumt wurde. 7) *περὶ τῶν ὅλων κινδ.*, den Entscheidungskampf führen, **de summa rerum decertare.** 8) *ἀναφέρω.* 9) für sich, d. i. allein. 10) die Construction ist: *ἀκούω γὰρ διαλογισμοὺς ἀνδρῶν παρεσκευασμένων νικᾶν, οὐ φεύγειν.* 11) 'als sie in der Morgendämmerung in sein Gezelt kamen.' Ueber den Genetiv *ὄρθρου* s. Buttm. §. 132, 5 b. 12) in ihrem Namen.

τοῦ καιροῦ κατεπείγοντος εἰσελθὼν Παρμενίων καὶ παραστὰς τῇ κλίνῃ δὶς ἢ τρὶς αὐτοῦ ἐφθέγξατο τοὔνομα, καὶ διεγερθέντος οὕτως ἠρώτα, ὅ,τι δὴ πεπονθὼς[1] *ὕπνον καθεύδοι νενικηκότος*[2], *οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. Ὁ δ' οὖν Ἀλέξανδρος εἶπε διαμειδιάσας· 'τί γάρ*[3]; *οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ χώρᾳ φυγομαχοῦντα Δαρεῖον;'*

22. *Παρατασσομένου δὲ τοῦ στρατεύματος, ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, ἐξέωσε*[4] *τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις.*

23. *Ἀλέξανδρος φύσει ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο*[5], *τῶν πραγμάτων αὐξανομένων*[6], *καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. Ἀρίστων μὲν γὰρ ὁ τῶν Παιόνων ἡγούμενος ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, 'τοῦτ',' εἶπεν 'ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον*[7].' *Ὁ δ' Ἀλέξανδρος γελάσας 'κενοῦ γε*[8]' *εἶπεν· 'ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι.'*

24. *Τῶν δὲ πολλῶν*[9] *τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. Ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα καὶ πυθόμενος τὸ πρᾶγμα*[10], *μέλλοντος*[11] *κατατίθεσθαι, 'μὴ κάμῃς,' εἶπεν 'ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τοῦτο κομίσας.'*

25. *Ὅλως δ' ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσι. Καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολήν, ὡς*[12] *οὐ χρησόμενος αὐτῷ*[13] *φίλῳ τὸ λοιπόν, εἰ διωθοῖτο τὰς χάριτας.*

---

1) 'was ihm doch begegnet wäre, daß er 2c.' 2) *ὕπνον καθεύδειν νενικηκότος*, den Schlaf eines Siegers schlafen, d. h. so fest schlafen, als hätte er schon gesiegt. 3) was denn? wie so? d. i. warum sollte ich nicht so ruhig schlafen? 4) *ἐξωθέω*. 5) scil. *εἰς τὸ μεγάλα καὶ πολλὰ δωρεῖσθαι*. 6) 'als seine Macht stieg, im Fortgang seines Glücks.' 7) ist mit *τοῦτο* zu verbinden. 8) 'ja wohl mit einem leeren,' scil. *ἐκπώματος τιμᾶται*. 9) ein gemeiner Mac. 10) den Sachverhalt, wie es neml. kam, daß der Mensch eine so große Last und für wen er sie trug. 11) scil. *αὐτοῦ*; vgl. S. 101, 10. 12) 'mit der Versicherung, daß er 2c.' 13) *χρῆσθαί τινι φίλῳ*, einen zum Freunde haben.

Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας[1] *τινὶ νεανίσκων οὐδὲν ἐδίδου διὰ τὸ μηδὲν αἰτεῖν. Ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος ὁ Σεραπίων ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος τοῦ βασιλέως· 'ἐμοὶ δ' οὐ δίδως;' 'οὐ γὰρ αἰτεῖς' εἶπε. Τούτῳ δὴ γελάσας πολλὰ ἔδωκεν.*

26. *Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι· τῶν δὲ φίλων δεομένων κἀκείνου δακρύοντος, ἔφη*[2] *διαλλάττεσθαι, κἀκεῖνος 'οὐκοῦν,' εἶπεν 'ὦ βασιλεῦ, δός τί μοι πιστὸν πρῶτον.' Ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι.*

27. *Ξενοκράτει δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· 'ἐμοὶ μὲν γὰρ' ἔφη 'μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν.'*

28. *Περιλάου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δὲ φήσαντος, ἱκανὰ εἶναι δέκα· 'σοί γε' ἔφη 'λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι.'*

29. *Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος, ὡς ἑκατὸν αἰτεῖται τάλαντα· 'καλῶς' ἔφη 'ποιεῖ, γιγνώσκων, ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.'*

30. *Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγιγνώσκων, ἀπορρήτους λόγους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, συναναγιγνώσκοντος, οὐκ ἐκώλυσεν· ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος*[3] *τὸν ἑαυτοῦ, τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν.*

31. *Ἐν δὲ Ἄμμωνος*[4] *ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς, 'οὐδέν γε' ἔφη 'θαυμαστόν· πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ*[5] *δὲ ποιεῖται τοὺς ἀρίστους.'*

32. *Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον*[6] *τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν,*

---

1) einer der Jünglinge, mit denen er Ball zu spielen pflegte. 2) scil. *ὁ Ἀλέξανδρος*. 3) *ἀφαιρέω*. 4) scil. *ἱερῷ*. Diese auch im Lat. gewöhnliche Ellipse (z. B. ventum erat ad Vestae) findet sich nur in Verbindung mit einer Präposition. 5) zu seinen Kindern macht er, d. h. er würdigt, daß seine Kinder heißen etc. 6) *συντρέχω*.

μειδιῶν τῷ προσώπῳ, 'τοῦτο μὲν αἷμα[1],' εἶπεν 'ὡς ὁρᾶτε, καὶ οὐκ

ἰχώρ[2], οἷός πέρ τε ῥέει μακάρεσσι[3] θεοῖσιν[4].'

33. Νοσήσας δέ ποτε μακρὰν νόσον, ὡς ἀνέρρωσεν[5], 'οὐδέν' ἔφη 'διετέθην χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ τύχη, μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας.'

34. Πυθόμενος δέ ποτε ὑπό τινος λοιδορεῖσθαι, 'βασιλικόν' ἔφη 'ἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν[6].'

35. Ὁ αὐτὸς ἐρωτηθείς, ποῖος βασιλεὺς ἄριστος, ἔφη· 'ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φίλους ποιούμενος.'

36. Ἐρωτηθεὶς δὲ ὑπό τινος, ποῦ τοὺς θησαυροὺς ἔχει, δείξας τοὺς φίλους ἔφη· 'ἐν τούτοις.'

37. Ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν· 'οὐ βασιλικόν ἐστι κλέψαι τὴν νίκην.'

38. Θεασάμενος δέ τινα ὁμώνυμον αὐτῷ δειλὸν ὄντα, ἔφη· 'νεανίσκε, ἢ τοὔνομα ἄλλαξον ἢ τὸν τρόπον.'

39. Τοῦ δ' οἰνοχόου αὐτοῦ ἀπολέσαντος φιάλην χρυσῆν καὶ διὰ τοῦτο φοβουμένου, Ἀλέξανδρος μαθὼν τοῦτο, προσκαλεσάμενος εἶπε· 'θάρρει, ὦ παῖ· ὅπου γὰρ ἂν ᾖ[7], ἡμετέρα ἐστίν.'

40. Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ἐπετίμησε πρᾴως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ[8] τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθέντων[9] οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν[10], οὐδ' ὁρῶσι, τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. 'Οὐκ ἴστε,' εἶπεν 'ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις[11];'

---

1) 'menschliches Blut und nicht Götterblut.' 2) ein Vers aus der Iliade V, 340. 3) Buttm. §. 46, Anm. 2. 4) Buttm. §. 34, Anm. IV, 6. 5) ἀναρρώννυμι. 6) κακῶς ἀκούειν (das lat. male audire) ist soviel als κακῶς λέγεσθαι, geschmäht, verleumdet werden. 7) scil. ἡ φιάλη. 8) statt ὅτι, wie man nach deutscher Ausdrucksweise erwarten sollte. 9) der Gen. hängt von ἥδιον ab. 10) damit deutet Al. an, daß ein süßer Schlaf nicht von weichen Polstern abhängt. 11) 'das nemliche wie die Besiegten;' s. Buttm. §. 133, 2 f.

41. Ὅτε Ἀλέξανδρος ἐξήλαυνεν[1] ἐπὶ Δαρεῖον, ὡς πάλιν μαχούμενος, ἀκούσας τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν, ἀπέλυσε τοὺς Θεσσαλοὺς οἴκαδε, δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. Πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γιγνομένην (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους) ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἀνυδρίαν. Ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ ὕδωρ ἐν ἀσκοῖς ἐφ᾽ ἡμιόνων κομίζοντες ἀπό του[2] ποταμοῦ· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα, ταχὺ πλησάμενοι[3] κράνος προσήνεγκαν. Ὁ δ᾽ ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος, περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς καὶ πρὸς τὸ ποτὸν βλέποντας, ἀπέδωκεν οὐ πιών, ἀλλ᾽ ἐπαινέσας τοὺς ἀνθρώπους, ‘ἐὰν γὰρ αὐτός’ ἔφη ‘πίω μόνος, ἀθυμήσουσιν οὗτοι.’ Θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς ἄγειν[4] ἀνέκραγον θαρροῦντα, καὶ τοὺς ἵππους ἐμάστιζον· οὔτε γὰρ κάμνειν οὔτε διψᾶν οὐδ᾽ ὅλως θνητοὺς εἶναι ἐνόμιζον αὐτούς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον.

42. Ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία, μόνους δέ φασιν ἑξήκοντα συνεισπεσεῖν εἰς τὸ στρατόπεδον τῶν πολεμίων. Ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐρριμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν[5] ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας[6] παρερχόμενοι, τοὺς πρώτους ἐδίωκον, ὡς[7] ἐν ἐκείνοις Δαρεῖον ὄντα. Μόλις δ᾽ εὑρίσκεται, πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα[8], κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. Ὅμως δὲ καὶ πιεῖν ᾔτησε καὶ πιὼν ὕδωρ ψυχρὸν εἶπε πρὸς τὸν δόντα Πολύστρατον· ‘ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπά-

1) Es war dies, als König Darius, von Bessus dem Satrapen von Bactrien begleitet, in die äußersten östlichen Provinzen seines Reiches floh, und daselbst vergeblich diese Völker zu den Waffen rief. 2) i. e. *τινός*. 3) von *πίμπλημι* ‘sie füllten sich einen Helm voll.’ 4) ‘er solle sie getrost weiter führen.’ 5) Reisewagen mit Weibern und Kindern, s. Anm. 12 zu Lucians Charon c. 13. 6) ‘die verlassen von den Wagenlenkern (ohne W.) irre umherfuhren.’ *ἁρμαμάξας* hängt von *παρερχόμενοι* ab. 7) ‘in der Erwartung, daß unter diesen Darius sei.’ 8) *τὸ σῶμα* ist Accus., voll an dem Körper, d. i. dessen Körper von vielen Schußwunden voll war.

σης, εὖ παθεῖν[1] ἀμείψασθαι μὴ δυνάμενον· ἀλλ' Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν, Ἀλεξάνδρῳ δ' οἱ θεοὶ[2] τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας[3], ᾧ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ.' Ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρὸς[4] ἐξέλιπεν. Ἀλέξανδρος δ' ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν[5], καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι καὶ περιέστειλε.

43. Ἀλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν καὶ ὑπὸ τῆς εὐτυχίας ἐκθεούμενος, ἐπέστειλε[6] τοῖς Ἕλλησι θεὸν αὐτὸν ψηφίσασθαι. Ἄλλοι μὲν οὖν ἄλλα[7] ἐψηφίσαντο, Λακεδαιμόνιοι δ' ἐκεῖνο· 'ἐπειδὴ Ἀλέξανδρος βούλεται θεὸς εἶναι, ἔστω θεός.'

44. Ὅτε Ἀλέξανδρος ἐν τῇ Ἰνδικῇ τὴν Σισιμίθρου ἐπολιόρκει πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, λέγεται ἀθυμούντων τῶν στρατιωτῶν ἐρωτῆσαι τὸν Ὀξυάρτην, ποῖός τις αὐτὸς[8] εἴη τὴν ψυχὴν[9] ὁ Σισιμίθρης· φήσαντος δὲ τοῦ Ὀξυάρτου δειλότατον ἀνθρώπων· 'λέγεις[10] σύ γε' φάναι[11] 'τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν ἐστιν.' Ταύτην οὖν, ἐκφοβήσας τὸν Σισιμίθρην, ἔλαβεν.

45. Ἐπεὶ δὲ ἄλλος ἔχων πέτραν, ἄληπτον δοκοῦσαν εἶναι, ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ Ἀλεξάνδρῳ, καὶ[12] τῆς δυνάμεως[13] ἐκέλευσεν ἄρχειν, καὶ προσέθηκε χώραν εἰπών, ὅτι[14] φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος, ἀνδρὶ μᾶλλον ἀγαθῷ πιστεύσας ἑαυτὸν ἢ ὀχυρῷ τόπῳ.

46. Ταξίλης, βασιλεὺς ὢν ἔθνους Ἰνδικοῦ, ἀπαντήσας Ἀλεξάνδρῳ, 'τί δεῖ πολέμων' ἔφη 'καὶ μάχης ἡμῖν, Ἀλέξανδρε, πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι[15] μήτε τροφὴν ἀναγκαίαν, ὑπὲρ ὧν μόνων ἀνάγκη[16] διαμάχε-

1) 'daß ich eine Wohlthat erlange, ohne sie vergelten zu können.' 2) man ergänze ἀποδώσουσι. 3) τῆς ἐπιεικείας, für seine Menschlichkeit. 4) Buttm. §. 132, 5 e. 5) Buttm. §. 151, I, 7. 6) 'ließ den Hell. melden, sie sollten &c.' 7) ἄλλοι ἄλλα, wie alii alia, 'die einen dies, andere jenes.' 8) selbst, d. i. persönlich. 9) der Accusativ des Bezugs von ποῖος abhängig: wie von Charakter (Muth) beschaffen. 10) damit ja sagst du. 11) der Infinitiv hängt von λέγεται ab. 12) hier beginnt der Nachsatz, da καί sich auf das nachfolgende καί bezieht (sowohl — als auch). Subject zu ἐκέλευσεν ist Ἀλέξανδρος. 13) die Macht, über welche er früher geboten hatte. 14) s. S. 99, 3. 15) ἀφικνέομαι. 16) scil. ἐστί.

σθαι νοῦν ἔχουσιν ἀνθρώποις; Τοῖς δ' ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις[1] εἰ μέν εἰμι κρείττων, ἕτοιμος[2] εὖ ποιεῖν, εἰ δ' ἥττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών[3].' Ἡσθεὶς οὖν ὁ Ἀλέξανδρος καὶ δεξιωσάμενος αὐτόν, 'ἦ που νομίζεις' ἔφη 'δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων[4] καὶ φιλοφροσύνης; Ἀλλ' οὐδέν σοι πλέον[5]· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρὸς σὲ καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς μου χρηστὸς ὢν μὴ περιγένῃ.' Λαβὼν δὲ δῶρα πολλὰ καὶ δοὺς πλείονα, τέλος[6] χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν· ἐφ' οἷς τοὺς μὲν φίλους ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν.

47. Ἐπεὶ δὲ Πῶρον, ἄλλον τῶν Ἰνδῶν βασιλέα, ληφθέντα ἐν τῇ μάχῃ, ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσηται[7], 'βασιλικῶς,' εἶπε· προσπυθομένου δέ, μή[8] τι ἄλλο λέγει[9], 'πάντα εἶπεν 'ἐστὶν ἐν τῷ βασιλικῶς[10].' Θαυμάσας οὖν καὶ τὴν σύνεσιν αὐτοῦ καὶ τὴν ἀνδραγαθίαν, οὐ μόνον ἀφῆκεν αὐτόν, ἀλλὰ καὶ πλείονα χώραν, ἧς[11] πρότερον εἶχε, προσέθηκε.

48. Ἀριστοβούλου μονομαχίαν γράψαντος Ἀλεξάνδρου καὶ Πώρου, καὶ ἀναγνόντος[12] αὐτῷ τοῦτο μάλιστα τὸ χωρίον τῆς γραφῆς (ᾤετο γὰρ χαριεῖσθαι τὰ μέγιστα[13] τῷ βασιλεῖ, ἐπιψευδόμενος ἀριστείας τινὰς αὐτῷ καὶ ἀναπλάττων ἔργα μείζω τῆς ἀληθείας[14]), λαβὼν ἐκεῖνος τὸ βιβλίον (πλέοντες δ' ἐτύγχανον ἐν τῷ ποταμῷ τῷ Ὑδάσπῃ) ἔρριψεν ἐπὶ κεφαλὴν ἐς τὸ ὕδωρ, ἐπειπών· 'καὶ σὲ δὲ[15] οὕτως ἐχρῆν[16], ὦ Ἀριστόβουλε, τοιαῦτα ὑπὲρ ἐμοῦ μονομαχοῦντα[17] καὶ ἐλέφαντας ἑνὶ ἀκοντίῳ φονεύοντα.'

49. Τῶν δὲ Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα καὶ λε-

---

1) der Sinn ist: wenn ich aber an andern sogenannten Schätzen und Besitzthümern (was man sonst Schätze ꝛc. nennt) etwas vor dir voraushabe, so ꝛc. 2) scil. *εἰμί*, s. Buttm. §. 129, A. 18. 3) für eine Wohlthat; wörtlich: 'wann ich eine Wohlthat erhalten habe.' 4) nach solchen Reden. 5) scil. **ἐστίν** oder **ἔσται**; du sollst nichts voraushaben ꝛc. 6) steht hier adverbial, s. das Wörterverz. 7) über den Conjunctiv s. Buttm. §. 139, H, 2 (63). 8) ob nicht. 9) sage, d. i. begehre. 10) scil. *χρῆσθαι*. 11) Attraction statt *χώραν πλείονα ταύτης ἣν π. εἶχε*. 12) *ἀναγιγνώσκω*. 13) 'er werde dem A. den größten Gefallen erweisen ꝛc.' 14) *μείζω τῆς ἀλ.* 'Thaten, welche die Wirklichkeit überbieten.' Buttm. §. 132, Anm. 20. 15) *καὶ σὲ δέ*, auch dich. 16) sollte man also, mit Ergänzung von *ῥίπτειν ἐς τὸ ὕδωρ*. 17) *τοιαῦτα μονομαχεῖν*, solche Zweikämpfe führen.

γόμενον διὰ δακτυλίου τὸν οἰστὸν ἀφιέναι λαβὼν αἰχμάλωτον, ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξε. Ἐπεὶ δὲ ἀπαγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν[1] οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιος φανῆναι.

50. Τῶν δὲ γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα, φήσας ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινάμενον πρῶτον[2], εἶτ' ἐφεξῆς οὕτω τοὺς ἄλλους· ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. Ὁ μὲν οὖν πρῶτος ἐρωτηθείς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας· οὐκέτι γὰρ εἶναι τοὺς τεθνηκότας. Ὁ δὲ δεύτερος, πότερον[3] τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν ἔφη· ταύτης γὰρ μέρος εἶναι τὴν θάλατταν. Ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῷον πανουργότατον· 'ὃ μέχρι νῦν' εἶπεν 'ἄνθρωπος οὐκ ἔγνωκεν.' Ὁ δὲ τέταρτος ἀνακρινόμενος, τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν, ἀπεκρίνατο· 'καλῶς ζῆν βουλόμενος αὐτὸν ἢ καλῶς ἀποθανεῖν[4].' Ὁ δὲ πέμπτος ἐρωτηθείς, πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι· 'τὴν ἡμέραν' εἶπε 'μιᾷ ἡμέρᾳ[5].' καὶ προσεπεῖπεν

---

1) seit vielen Tagen; s. Buttm. §. 132, 14 a. 2) πρῶτον gehört zu ἀποκτενεῖν: er werde zuerst den hinrichten lassen, welcher ꝛc. Der Stellung nach kann jedoch πρῶτον auch zu ἀποκρινάμενον bezogen werden; s. den Schluß dieser Erzählung. 3) vollständig hieße es: ὁ δὲ δεύτερος ἐρωτηθείς, πότερον οἴεται τὴν γῆν etc. 4) der Sinn dieser Worte ist: Ich that es in dem Wunsche, daß Sabbas ehrenvoll lebe, d. i. seine Unabhängigkeit wieder gewinne, oder im Kampfe um sie einen ehrenvollen Tod sterbe. Aehnlich sagt Sophokles im Ajax V. 479: ἢ καλῶς ζῆν ἢ τεθνηκέναι τὸν εὐγενῆ χρή. 5) der Tag um einen Tag, d. i. um so viele Stunden, als der früher geborne Tag selbst umfaßte. Wenn nemlich der Tag früher als die Nacht entstanden ist, so ist er auch um einen astronomischen Tag früher entstanden, nicht jedoch um einen bürgerlichen, der eine ganze Tageszeit von 24 Stunden umfaßt. Das Dunkle der Antwort besteht also darin, daß, wenn man sonst sagt, etwas sei um einen Tag früher geschehen, man darunter einen bürgerlichen Tag begreift; hier aber umfaßt diese Zeitbestimmung bloß den Raum, wo Tageshelle, nicht Nacht ist.

οὗτος, θαυμάσαντος τοῦ βασιλέως, ‘ὅτι[1] τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι.’ Μεταλαβὼν οὖν τὸν ἕκτον ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιστα· ‘ἐὰν κράτιστος ὢν’ ἔφη ‘μὴ φοβερὸς ᾖ.’ Τῶν δὲ λοιπῶν τριῶν ὁ μὲν ἐρωτηθείς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός· εἴ τι πράξειεν’, εἶπεν ‘ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν·’ ὁ δὲ περὶ ζωῆς καὶ θανάτου[2], πότερον ἰσχυρότερον, ἀπεκρίνατο τὴν ζωήν, τοσαῦτα κακὰ φέρουσαν. Ὁ δὲ τελευταῖος, μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχοι ζῆν· ‘μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον.’ Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν ἐκέλευσεν ἀποφαίνεσθαι[3]. Τοῦ δ’ ἕτερον ἑτέρου χεῖρον[4] εἰρηκέναι φήσαντος, ‘οὐκοῦν’ ἔφη ‘σὺ πρῶτος ἀποθανεῖ τοιαῦτα κρίνων.’ ‘Οὐκ ἄν γ’[5]’ εἶπεν, ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας πρῶτον ἀποκτενεῖν τὸν πρῶτον ἀποκρινάμενον κάκιστα[6].’ Καὶ ἀφῆκεν αὐτοὺς ὁ Ἀλέξανδρος δωρησάμενος.

51. Ἀποθνήσκων δὲ πρὸς τοὺς ἑταίρους ἰδὼν ἔφη· ‘μέγαν ὁρῶ μου τὸν ἐπιτάφιον[7] ἐσόμενον.’

52. Τελευτήσαντος δὲ αὐτοῦ, Δημάδης ὁ ῥήτωρ ὅμοιον ἔφη διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι[8] τὸ στρατόπεδον τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τῷ Κύκλωπι.

---

1) der Satz mit ὅτι hängt von προσεπεῖπεν ab. 2) scil. ἐρωτηθείς. 3) mit Ergänzung von γνώμην, welches in dieser Redensart selten fehlt. 4) ‘einer immer schlechter als der andere,’ so daß sich herausstellt, daß der zuletzt geantwortet, am schlechtesten geantwortet hat. 5) mit Ergänzung von ἀποθάνοιμι. 6) ‘da du sagtest, daß du zuerst den tödten würdest, der als erster am schlechtesten geantwortet hat.’ Der Gymnosophist zieht nemlich in der Drohung des Alexander das πρῶτον auf ἀποκρινάμενον (s. oben S. 111, Anm. 2), und sucht jetzt durch einen sophistischen Schluß dem Alexander zu beweisen, daß er keinen könne hinrichten lassen. Will er nemlich den zuerst tödten, der als erster Antwortender am schlechtesten geantwortet hat, so kann er, wenn er seinem Worte getreu bleiben will, gar keinen hinrichten lassen, da nach dem Urtheile des Indiers der letzte am schlechtesten geantwortet hat, er also mit diesem beginnen müßte. 7) scil. λόγον, eigentlich die Grabesrede, die ihm zu Ehren werde gehalten werden, hier aber zugleich in dem Doppelsinne zu fassen: der λόγος, d. i. das Gezänke, der Streit, der sich über meinem Grabe erheben wird. 8) ὅμοιον ὁρᾶσθαι, das lateinische similem videri.

IV.

Erzählungen aus Lucian.

1. Schöner Tod.

Φιλιππίδης ὁ ἡμεροδρομήσας[1] *λέγεται, ἀπὸ Μαραθῶνος ἀγγέλλων τὴν νίκην, εἰπεῖν πρὸς τοὺς ἄρχοντας καθημένους καὶ πεφροντικότας ὑπὲρ τοῦ τέλους τῆς μάχης· 'χαίρετε, νικῶμεν*[2]*·' καὶ τοῦτο εἰπὼν συναποθανεῖν*[3] *τῇ ἀγγελίᾳ καὶ τῷ χαίρειν*[4] *συνεκπνεῦσαι.*

2. Milde Auslegung.

Ἐπὶ τοῦ πρώτου Σεβαστοῦ[5] *τοιόνδε τι λέγεται γενέσθαι. Ὁ μὲν*[6] *ἔτυχε*[7] *δίκην τινὰ δικάσας ὀρθῶς καὶ ἀπολύσας ἐγκλήματος τοῦ μεγίστου ἀδίκως συκοφαντούμενον ἄνθρωπον, ὁ δὲ χάριν ὁμολογῶν μεγάλῃ τῇ φωνῇ· 'χάριν οἶδά σοι,' ἔφη 'ὦ αὐτόκρατορ, ὅτι κακῶς καὶ ἀδίκως*[8] *ἐδίκασας.' Καὶ τῶν περὶ*[9] *Σεβαστὸν ἀγανακτησάντων καὶ διασπάσασθαι τὸν ἄνθρωπον ἐθελόντων, 'παύσασθε χαλεπαίνοντες*[10]*' ἐκεῖνος ἔφη· 'οὐ γὰρ τὴν γλῶτταν αὐτοῦ, ἀλλὰ τὴν γνώμην ἐξετάζειν ἄξιον*[11]*.'*

1) Das Particip mit Artikel geht oft völlig in einen Substantivbegriff über, z. B. *οἱ ἀγωνιζόμενοι* die Wettkämpfer, *ὁ δράσας* der Thäter, *ἡ τεκοῦσα* die Mutter. 2) wir haben gesiegt, sind Sieger. *Νικᾶν* und *ἡττᾶσθαι* haben oft im Präsens Perfectbedeutung. 3) scil. *λέγεται*. 4) *τῷ χαίρειν:* mit dem Rufe *χαίρειν*. 5) d. i. der erste römische Kaiser Augustus. 6) *ὁ μὲν* bezieht sich auf *Σεβαστός:* dieser. 7) man übersetze den Aor. durch das Plusquamperf. Ueber die Construction s. Buttm. §. 144, A. 6. 8) Man muß nemlich denken, daß der Angeklagte, der sich auf eine ungerechte Verurtheilung schon gefaßt gemacht hatte, in seiner unverhofften Freude und Verwirrung gerade das ausrief, was er im Fall einer Verurtheilung zu sagen beschlossen hatte. 9) das Gefolge, die Hofleute des Augustus. 10) Buttm. §. 144, 6. 11) scil. *ἐστίν*.

3. Altgewordene dramatische Dichter.

Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη, πέντε καὶ ἐνενήκοντα ζήσας ἔτη. Οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω[1] *τοῖς δικασταῖς Οἰδίπουν*[2] *τὸν ἐπὶ Κολωνῷ ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν*[3] *ὑγιαίνει· ὥστε τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. — Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε, καὶ πρὸς τῷ τέλει τοῦ βίου διδάξας τὴν Πυτίνην καὶ νικήσας*[4]*, μετ' οὐ πολὺ ἐτελεύτα. — Καὶ Φιλήμων δὲ*[5] *ὁ κωμικὸς ὁμοίως τῷ Κρατίνῳ ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιοὺς, κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν· θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα*[6]*, ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι*[7] *τῷ ὄνῳ ἀκράτου*[8] *ῥοφεῖν, ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανεν.*

4. Das seltsame Testament.

Εὐδαμίδας Κορίνθιος Ἀρεταίῳ τῷ Κορινθίῳ καὶ Χαριξένῳ τῷ Σικυωνίῳ φίλοις[9] *ἐκέχρητο εὐπόροις οὖσι*[10]*, πενέστατος αὐτὸς ὤν· ἐπεὶ δὲ ἀπέθνησκε, διαθήκας ἀπέλιπε πολλοῖς γελοίας δοκούσας. Ἐγέγραπτο γὰρ ἐν αὐταῖς· 'ἀπολείπω Ἀρεταίῳ μὲν τὴν μητέρα μου τρέφειν*[11] *καὶ γηροκομεῖν, Χαριξένῳ δὲ τὴν θυγατέρα μου ἐκδοῦναι μετὰ προικός, ὁπόσην ἂν πλείστην*[12] *ἐπιδοῦναι παρ' αὐτοῦ*[13] *δύνηται·' (ἦν δὲ αὐτῷ καὶ μήτηρ πρεσβῦτις καὶ θυγάτριον ὡραῖον ἤδη γάμου·) 'ἢν δέ*

---

1) *ἀναγιγνώσκω.* 2) d. i. seine Tragödie betitelt: Oedipus auf Kolonos. So heißt es unten *διδάξας τὴν Πυτίνην* 'er führte seine Komödie die Weinflasche auf.' 3) Buttm. §. 131, 7. 4) An jedem Spieltage wurden bei den Griechen zur Zeit der Blüthe des Dramas mehrere Stücke aufgeführt und dem besten der Preis zuerkannt; dies heißt hier *νικᾶν.* 5) *καὶ — δὲ*, und auch. 6) das Particip, auf *ὄνον* zu beziehen, ist von *θεασάμενος* regiert. 7) er solle hinzugeben. 8) Buttm. §. 132, 10 i. 9) Der Dativ *φίλοις* ist Prädicat zu den vorhergehenden Dativen; s. S. 105, 13. 10) über das Particip *εὐπόροις οὖσι* = *οἳ εὔποροι ἦσαν*, vgl. Buttm. §. 144, 7. Ebenso steht kurz nachher *γελοίας δοκούσας.* 11) zum Erhalten; s. Buttm. §. 140, 3. 12) *ὁπόσην — πλείστην*, so groß als möglich, wie quantas maximas copias parat. 13) *παρ' αὐτοῦ*, von sich, d. i. von seinem Vermögen.

τι ἅτερος αὐτῶν ἐν τοσούτῳ[1] πάθῃ[2], καὶ τὴν ἐκείνου μερίδα ἐχέτω ὁ ἕτερος.' Τούτων ἀναγνωσθεισῶν[3] τῶν διαθηκῶν οἱ τὴν πενίαν μὲν εἰδότες τοῦ Εὐδαμίδα[4], τὴν φιλίαν δέ, ἣ πρὸς τοὺς ἄνδρας ἦν αὐτῷ, ἀγνοοῦντες ἐν παιδιᾷ τὸ πρᾶγμα ἐποιοῦντο, καὶ οὐδεὶς ὅστις οὐ[5] γελῶν ἀπηλλάττετο, οἷον Ἀρεταῖος καὶ Χαρίξενος οἱ εὐδαίμονες κλῆρον διαδέξονται, λέγοντες[6], εἴπερ ἀποτίσουσιν Εὐδαμίδᾳ καὶ ζῶντες αὐτοὶ κληρονομήσονται[7] ὑπὸ τοῦ νεκροῦ. Οἱ κληρονόμοι δέ, οἷς ταῦτα κατελέλειπτο, ὡς ἤκουσαν, ἧκον εὐθὺς διαιτῶντες τὰ ἐκ τῶν διαθηκῶν[8]. Ὁ μὲν οὖν Χαρίξενος πέντε μόνας ἡμέρας ἐπιβιοὺς ἀπέθανεν· ὁ δ' Ἀρεταῖος, ἄριστος κληρονόμων γενόμενος, τήν τε αὑτοῦ καὶ τὴν ἐκείνου[9] μερίδα παραλαβὼν ἔτρεφέ τε τοῦ Εὐδαμίδα τὴν μητέρα, καὶ τὴν θυγατέρα ἐξέδωκεν, ἀπὸ ταλάντων πέντε, ὧν[10] εἶχε, δύο μὲν τῇ ἑαυτοῦ θυγατρί, δύο δὲ τῇ τοῦ φίλου ἐπιδούς, καὶ τὸν γάμον γε[11] αὐταῖν ἐπὶ μιᾶς ἡμέρας ἠξίωσε γενέσθαι.

5. Einfachheit der alten Athener.

Οἱ Ἀθήνησιν ἄνθρωποι[12] φιλοσοφίᾳ καὶ πενίᾳ σύντροφοι ἦσαν, καὶ οὔτε τῶν ἀστῶν οὔτε τῶν ξένων οὐδένα[13] ἐτέρποντο[14] ὁρῶντες, ὃς τρυφὴν εἰσάγειν εἰς αὐτοὺς βιάζοιτο[15], ἀλλ' εἰ καί τις ἀφίκοιτο παρ' αὐτοὺς οὕτω διακείμενος, ἠρέμα τε μεθήρμοττον καὶ παρεπαιδαγώγουν καὶ πρὸς τὸ καθαρὸν[16] τῆς διαίτης μεθίστασαν.

---

1) indessen, inzwischen. 2) *ἤν τι πάθῃ*, euphemistisch für *ἢν ἀποθάνῃ*. 3) *ἀναγιγνώσκω*. 4) dorische Genetivform, da der Eigenname als der eines Korinthiers ein dorischer ist; s. Buttm. §. 34, Anm. IV, 4. 5) *οὐδεὶς ὅστις οὐ*, nemo non = jedermann; s. Buttm. §. 148, A. 8. 6) man construiere: *λέγοντες, οἷον κλῆρον Ἀ. κ. Χ. διαδέξονται. Λέγοντες* ist nach dem Sinn construiert, da in *οὐδεὶς ὅστις οὐ* (= *πάντες*) eine Mehrheit von Subjecten liegt. Der Sinn der Worte *οἷον — ἀποδέξ.* ist: 'eine wie herrliche Erbschaft werden A. und Ch. machen, da sie ja dem Erblasser (Geld) zahlen sollen ꝛc.' 7) Fut. Med. statt Pass. s. Buttm. §. 113, 6. 8) *τὰ ἐκ τῶν διαθ.* 'die Anordnungen des Testaments, der letzte Wille des Erblassers.' 9) des Charixenos. 10) statt *ἅ*, s. Buttm. §. 143, 13. 11) *καί — γε*, und zwar. 12) die Leute in Athen. Ueber *Ἀθήνησιν* und *Ἀθήναζε* s. Buttm. §. 116, 3 u. 2; Englm. §. 207. 13) *οὔτε — οὐδένα*, Buttm. §. 148, 6. 14) *τέρπεσθαι* construiert wie *χαίρειν* (Buttm. §. 144, A. 6): 'und sie sahen weder einen der Bürger noch der Fremden gerne.' 15) über den Optativ s. Buttm. §. 139, C, Anm. 2. 16) *τὸ καθαρὸν τῆς διαίτης* = *καθαρὰ δίαιτα*; vgl. unten die Ausdrücke *τὸ ἀνθηρὸν τῶν χρωμάτων, τῆς κόμης τὸ περίεργον, τῆς διαίτης τὸ ἀκόλαστον*. In solchen

Ἦλθε γοῦν ποτέ τις τῶν πολυχρύσων Ἀθήναζε, ὃς μάλ' ἐπίσημος καὶ φορτικὸς ἀκολούθων ὄχλῳ καὶ ποικίλῃ ἐσθῆτι καὶ χρυσῷ, αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθηναίοις[1] καὶ ὡς ἂν εὐδαίμων ἀποβλέπεσθαι· τοῖς δ' ἄρα δυστυχεῖν ἐδόκει τὸ ἀνθρώπιον, καὶ παιδεύειν ἐπεχείρουν αὐτὸν οὐ πικρῶς, οὐδ' ἄντικρυς ἀπαγορεύοντες ἐν ἐλευθέρᾳ τῇ πόλει καθ' ὅντινα τρόπον βούλεται βιοῦν· ἀλλ' ἐπεὶ κἀν τοῖς γυμνασίοις καὶ λουτροῖς ὀχληρὸς ἦν[2], θλίβων τοῖς οἰκέταις καὶ στενοχωρῶν τοὺς ἀπαντῶντας, ἡσυχῇ τις ἂν ὑπεφθέγξατο[3], προσποιούμενος λανθάνειν, ὥσπερ οὐ πρὸς αὐτὸν ἐκεῖνον ἀποτείνων, 'δέδοικε μὴ παραπόληται μεταξὺ[4] λούμενος· καὶ μὴν εἰρήνη γε μακρὰ κατέχει[5] τὸ βαλανεῖον· οὐδὲν[6] οὖν δεῖ στρατοπέδου'. Ὁ δὲ ἀκούων ἃ ἦν[7], μεταξὺ ἐπαιδεύετο.

6. Fortsetzung und Schluß.

Τὴν δὲ ἐσθῆτα τὴν ποικίλην καὶ τὰς πορφυρίδας ἐκείνας ἀπέδυσαν[8] αὐτόν, ἀστείως πάνυ τὸ ἀνθηρὸν ἐπισκώπτοντες τῶν χρωμάτων, 'ἔαρ ἤδη[9]' λέγοντες, καὶ 'πόθεν[10] ὁ ταὼς οὗτος;' καὶ 'τάχα τῆς μητρός ἐστιν[11] αὐτοῦ,' καὶ τὰ τοιαῦτα[12]. Καὶ τὰ ἄλλα δὲ[13] οὕτως ἀπέσκωπτον, ἢ τῶν δακτυλίων τὸ πλῆθος ἢ τῆς κόμης τὸ περίεργον ἢ τῆς διαίτης τὸ ἀκόλαστον· ὥστε κατὰ μικρὸν ἐσωφρονίσθη, καὶ παρὰ πολὺ βελτίων ἀπῆλθε δημοσίᾳ[14] πεπαιδευμένος.

Ὅτι δ' οὐκ ᾐσχύνοντο πενίαν ὁμολογοῦντες, ἄλλα τε δηλοῖ[15] καὶ φωνή τις, ἥν ποτε πάντες κοινῇ προεῖντο[16] ἐν τῷ

Fällen vertritt das Neutrum des Adjectivs die Stelle eines abstracten Substantivs, ein Gebrauch, den bes. die spätern griech. Autoren bis zum Unmaße liebten.

1) in den Augen aller Athener. 2) Plutarch rühmt (Praec. reip. ger. c. 31.) als Kennzeichen eines **ἀνὴρ σώφρων: οὐδὲ ἐνοχλῶν οἰκετῶν πλήθει περὶ λουτρόν.** 3) **ἂν ὑπεφθ. — λανθάνειν** 'da sagte wohl mancher halblaut (Buttm. §. 139, 3, 2 a.), indem er sich stellte nicht bemerkt, d. i. nicht gehört zu werden.' 4) während des Badens; s. Buttm. §. 145, A. 5. 5) **εἰρήνη κατέχει τὸ βαλανεῖον**, wie das latein. pax tenet arva. 6) verstärkt statt **οὐ**. 7) **ἃ ἦν** 'was es war, d. i. was man sagen wollte.' 8) über den doppelten Accusativ s. Buttm. §. 131, 5. 9) scil. **ἐστίν**. 10) man ergänze **ἥκει** oder **ἐστίν**. 11) zu **ἐστίν** ist zu ergänzen **ἡ ἐσθὴς ἡ ποικίλη. Εἶναι** hat hier die Bedeutung angehören. 12) und ähnliches der Art, scil. **ἀπέσκωπτον**. 13) **καὶ τὰ ἄλλα δέ**, und auch anderes. Die Partikeln **καί — δέ** (und auch) werden immer durch das Einsetzen des neu hinzutretenden Begriffes, der den Gegensatz bildet, von einander getrennt. 14) öffentlich, d. i. durch das Volk. 15) 'zeigt sowohl anderes, als eine Aeußerung 2c.' 16) **προΐημι**.

ἀγῶνι[1] τῶν Παναθηναίων. Ληφθεὶς[2] μὲν γάρ τις τῶν πολιτῶν ἤγετο παρὰ τὸν ἀγωνοθέτην, ὅτι βαπτὸν[3] ἔχων ἱμάτιον ἐθεώρει· οἱ δὲ ἰδόντες[4] ἠλέησάν τε καὶ παρῃτοῦντο, καὶ τοῦ κήρυκος ἀνειπόντος, ὅτι παρὰ τὸν νόμον ἐποίησε τοιαύτῃ ἐσθῆτι θεώμενος, ἀνεβόησαν μιᾷ φωνῇ πάντες ὥσπερ ἐσκεμμένοι[5], συγγνώμην ἀπονέμειν[6] αὐτῷ τοιαῦτά[7] γε ἀμπεχομένῳ· μὴ γὰρ ἔχειν αὐτὸν ἕτερα.

7. Urtheil des Königs Philippus über Demosthenes.

Ἐπεί ποτε δημηγορία Δημοσθένους ἐξηγγέλθη Ἀθήνηθεν[8], καθαπτομένη Φιλίππου, καὶ Παρμενίων ἠγανακτήκει, καί τι καὶ[9] σκωπτικὸν εἰς τὸν Δημοσθένην ἐπεῖπεν, ὁ Φίλιππος 'ὦ Παρμενίων,' ἔφη 'δίκαιος[10] ὁ Δημοσθένης παρρησίας τυγχάνειν· μόνος γέ τοι τῶν ἐπὶ τῆς Ἑλλάδος δημαγωγῶν οὐδαμοῦ τοῖς ἀπολογισμοῖς ἐγγέγραπται[11] τῶν ἐμῶν ἀναλωμάτων. Ἡμεῖς δὲ θᾶττον ἂν τῶν Βυζαντίνων[12] τὸ τεῖχος ἕλοιμεν[13] μηχαναῖς ἢ Δημοσθένην χρυσίῳ. Ἐγὼ δέ, ὦ Παρμενίων, εἰ μέν τις Ἀθηναῖος ὤν, ἐν Ἀθήναις λέγων, ἐμὲ τῆς πατρίδος προτιμᾷ, τούτοις[14] ἀργύριον μὲν προείμην[15] ἄν, φιλίαν δ' οὐκ ἄν·[16] εἰ δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισεῖ, τούτῳ προσπολεμῶ μέν, ὡς ἀκροπόλει καὶ τείχει καὶ νεωρίοις καὶ τάφρῳ, θαυμάζω δὲ τῆς ἀρετῆς[17] καὶ μακαρίζω τοῦ κτήματος τὴν πόλιν.'

8. Fortsetzung.

Πρὸς Παρμενίωνα μὲν ταῦτα[18]· τοιούτους δέ τινας καὶ πρὸς Ἀντίπατρον λόγους ἐποιήσατο. Τῶν γὰρ μετὰ Διοπει-

1) einen Theil der panathenäischen Festfeier machten gymnische Kampfspiele aus. 2) λαμβάνω. 3) Bunte Kleider trugen in Athen die ehrlosen Weiber. Um so anstößiger war es für einen Mann, in einem solchen Aufzuge bei der Festfeier der keuschen Minerva zu erscheinen. 4) 'doch diese (die Athener), wie sie den Menschen abführen sahen ꝛc.' 5) gleichsam verabredetermaßen. 6) man solle ertheilen; vgl. S. 114, 7, εἰπὼν προσδοῦναι. 7) scil. ἱμάτια. 8) B. §. 116, 1; Engl. §. 207. 9) καί τι καί, und sogar; τὶ gehört zu σκωπτ. Ueber die Stellung von τὶ vgl. Plat. Crito c. 1: καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ. 10) 'Demosth. ist werth, würdig; es ist billig, daß D.' s. B. §. 151, I, 7 c. 11) d. h. er steht nirgends auf der Liste der von mir besoldeten Verräther. 12) die Eroberung von Byzanz, welches Philipp 340—339 v. Chr. belagerte, wurde ihm durch die Bemühungen des Demosthenes vereitelt. 13) αἱρέω. 14) Der Plural τούτοις, auf εἴ τις bezogen, steht dem Sinne nach, da in εἴ τις der Begriff von ὅσοι liegt. 15) προΐημι. 16) nicht wohl, scil. προείμην. 17) wegen seiner T., Buttm. §. 132, A. 15. 18) sc. ἔλεγε.

θους[1] *Ἀθήνηθεν ἀπεσταλμένων, οὗτος μὲν εἶχε διὰ φροντίδος, ὁ*[2] *δ' εὖ μάλα γελάσας ἔφη· 'Σὺ δ' ἀστικὸν στρατηγὸν ἢ στρατιώτην δέδοικας ἡμῖν; τί ἂν ἄνθρωποι πράξαιεν διονυσιάζοντες, ἐν κρεανομίαις*[3] *καταζῶντες καὶ χοροῖς; εἰ δὲ μὴ Δημοσθένης εἷς ἐν Ἀθηναίοις ἐγένετο*[4], *ῥᾷον ἂν εἴχομεν τὴν πόλιν ἢ Θηβαίους καὶ Θετταλούς, ἀπατῶντες, βιαζόμενοι, φθάνοντες, ὠνούμενοι· νῦν δὲ*[5] *εἷς ἐκεῖνος ἐγρήγορε*[6], *καὶ πᾶσι τοῖς καιροῖς*[7] *ἐφέστηκε, καὶ ταῖς ἡμετέραις ὁρμαῖς ἐπακολουθεῖ, καὶ τοῖς στρατηγήμασιν ἀντιπαρατάττεται· καθάπαξ κώλυμά τι καὶ πρόβολος ὑμῖν ἄνθρωπός*[8] *ἐστι, μὴ*[9] *πάντ' ἔχειν ἐξ ἐπιδρομῆς. Τοῦτον οὐ λαθεῖν*[10] *ἔστιν*[11], *οὐ φενακίσαι, οὐ πρίασθαι, οὐ μᾶλλον ἢ*[12] *τὸν Ἀριστείδην ἐκεῖνον*[13] *ὁ Περσῶν βασιλεὺς ἐπρίατο. Τοῦτον οὖν, ὦ Ἀντίπατρε, χρὴ δεδιέναι μᾶλλον ἢ πάσας τριήρεις καὶ πάντας ἀποστόλους· ὃ γὰρ Ἀθηναίοις τοῖς πάλαι Θεμιστοκλῆς καὶ Περικλῆς ἐγένετο, τοῦτο τοῖς νῦν ὁ Δημοσθένης, ἐφάμιλλος Θεμιστοκλεῖ μὲν τὴν σύνεσιν*[14], *Περικλεῖ δὲ τὸ φρόνημα.'*

9. Schluß.

Τοιαῦτα πολλάκις ὁ Φίλιππος περὶ τἀνδρὸς[15] *ἔλεγεν, ἐν τῶν παρὰ τῆς τύχης*[16] *χρηστῶν τιθέμενος τὸ μὴ στρατηγεῖν*

---

1) *τῶν μετὰ Διοπ.* etc. 'als nemlich die Soldaten unter D. abgeschickt waren,' und zwar nach der thracischen Halbinsel, 342 v. Chr., von wo er Streifzüge in das macedonische Gebiet unternahm. 2) scil. *ὁ Φίλιππος.* 3) Es war in Athen Sitte, daß bei der Festfeier der Panathenäen eine jede der von Athen gegründeten Colonien zur Opferung ein Rind schickte, so daß eine Menge von Fleisch (*κρεῶν*) vorhanden war, das sodann unter das Volk vertheilt (*νέμω*) wurde. Solche Fleischspenden nun wurden immer häufiger, je mehr die Demokratie entartete; und es kam soweit, daß außer den Vertheilungen von Opferfleisch auch Geldspenden an das ärmere Volk aufkamen, damit es sich eine bessere Mahlzeit an Festtagen beschaffen konnte. Uebrigens will Philipp nichts weiter sagen, als daß die Athener Leute seien, die in beständigen Freudenfesten, in Saus und Braus lebten. 4) *εἰ μὴ — ἐγένετο*, wenn nicht wäre; s. B. §. 139, A, 4 (28). 5) nun aber, so aber, wie das latein. nunc vero. 6) *ἐγείρω.* 7) *καιρός* hier im schlimmen Sinne; s. das Lexik. Die Stelle ist aus Demosth. entnommen, Olynth. III. §. 7. *ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς.* 8) s. B. §. 29, A. 3; Englm. §. 8. 9) über *μή* im Infinitivsatze nach den Begriffen des Hinderns 2c. s. B. §. 148, A. 9. 10) *λανθάνω.* 11) *ἔστιν*, es ist möglich, es geht an. 12) *οὐ μᾶλλον ἤ*, nicht mehr, d. i. eben so wenig als, wie das lat. non magis. 13) d. i. jenen bekannten, berühmten. 14) Accusativ des Bezugs: an Einsicht. 15) *τοῦ ἀνδρός.* 16) *τὰ παρὰ τύχης χρηστά*, so viel als *τὰ τύχης χρ.* 'die vom Glück herrührenden Wohlthaten.'

τὸν Δημοσθένην, οὗγε[1] καὶ τοὺς λόγους ὥσπερ κριοὺς Ἀθήνηθεν ὁρμωμένους διασείειν αὐτοῦ καὶ ταράττειν τὰ βουλεύματα. Περὶ μὲν γὰρ Χαιρωνείας[2] οὐδὲ μετὰ τὴν νίκην ἐπαύετο πρὸς τοὺς συνόντας λέγων[3], εἰς ὅσον ἄνθρωπος αὐτὸν κινδύνου κατέστησεν. 'Ἐπὶ μιᾶς γὰρ' ἔφη 'ταύτης τῆς ἡμέρας τὸν περὶ τῆς ἀρχῆς καὶ τῆς ψυχῆς κίνδυνον ἐπέστησέ μοι, τὰς ἀρίστας πόλεις εἰς ἓν συναγαγὼν καὶ πᾶσαν τὴν Ἑλληνικὴν δύναμιν ἀθροίσας.' — Πρὸς δὲ τοὺς λέγοντας, ὡς μέγαν[4] ἔχοι τὸν Ἀθηναίων δῆμον ἀνταγωνιστήν, 'ἐμοὶ Δημοσθένης μόνος' εἶπεν 'ἀνταγωνιστής· Ἀθηναῖοι δέ, Δημοσθένην οὐκ[5] ἔχοντες, Αἰνιᾶνές εἰσι[6] καὶ Θετταλοί.' — Καὶ πρέσβεις ὁπότε πρὸς τὰς πόλεις πέμποι[7], τῶν μὲν ἄλλων ῥητόρων εἴ τινας ἡ τῶν Ἀθηναίων πόλις ἀνταποστέλλοι, τῇ πρεσβείᾳ ῥᾷστα ἦν κεκρατηκώς[8]· τοῦ Δημοσθένους δ' ἐπιστάντος[9], 'μάτην' εἶπεν ἂν[10] 'ἐπρεσβεύσαμεν· οὐ γάρ ἐστι κατὰ τῶν Δημοσθένους λόγων ἐγεῖραι τρόπαιον.' — Τοιοῦτοί τινες ἦσαν αὐτῷ συνεχεῖς περὶ Δημοσθένους οἱ λόγοι.

10. Werth der Freundschaft bei den Scythen.

Σκύθαι οὐδὲν φιλίας μεῖζον οἴονται εἶναι, οὐδὲ ἔστιν ἐφ' ὅτῳ[11] ἄν τις Σκύθης μᾶλλον σεμνύναιτο ἢ ἐπὶ τῷ συμπονῆσαι φίλῳ ἀνδρὶ καὶ κοινωνῆσαι τῶν δεινῶν, ὥσπερ οὐδὲν ὄνειδος μεῖζον παρ' αὐτοῖς τοῦ[12] προδότην φιλίας γενέσθαι δοκεῖν. Διὰ ταῦτα Ὀρέστην καὶ Πυλάδην τιμῶσιν, ἐν φιλίᾳ διενεγκόντας[13], ὃ[14] πρῶτον ἁπάντων θαυμάζουσι. — Τόνδε δὲ τὸν τρόπον ποιοῦνται τοὺς φίλους[15]. Ἐπειδὰν γάρ τινα ἴδωσιν ἀγαθὸν ἄνδρα καὶ μεγάλα ἐργάσασθαι δυνάμενον, ἐπὶ τοῦτον

1) οὗγε — διασείειν 'weil ja schon seine Reden erschütterten.' 2) 'wenigstens was Chäronea, d. i. die Schlacht bei Ch. (338 v. Chr.) betrifft ꝛc.' 3) Buttm. §. 144, 6. 4) μέγαν gehört zu ἀνταγων. 'er habe einen großen Gegner an dem Volk der Athener.' 5) richtiger sollte es heißen μὴ ἔχοντες, wenn sie nicht hätten. 6) 'gelten mir soviel als die Aen.', welche Philipp ohne Mühe überwältigt hatte. 7) über ὁπότε und εἰ mit Optativ s. Buttm. §. 139, C, Anm. 2 (39). 8) rhetorisches Plusquamperf. statt Imperf.: er war Sieger. 9) ἐφίστασθαι heißt hier: 'an der Spitze einer Gesandtschaft stehn.' 10) 'da sagte er wohl, d. i. pflegte zu sagen,' s. S. 116, 3. 11) ἐφ' ὅτῳ ꝛc. 'und es gibt nichts, worüber ein Scythe stolzer wäre, als darauf daß (ἐπὶ τῷ) ꝛc.' 12) τοῦ — δοκεῖν als zu scheinen. 13) διαφέρω. 14) ὅ, scil. τὸ διαφέρειν ἐν φιλίᾳ. 15) ποιοῦνται τοὺς φίλους, gewinnen sich ihre Freunde.

ἅπαντες σπεύδουσι. Καὶ ὅπερ οἱ ἄλλοι[1] ἐν τοῖς γάμοις, τοῦτο ἐκεῖνοι ἐπὶ τῶν φίλων ποιεῖν ἀξιοῦσιν, ἐπὶ πολὺ μνηστευόμενοι καὶ πάντα ὁμοῦ πράττοντες, ὡς μὴ διαμαρτάνοιεν[2] τῆς φιλίας, μηδὲ ἀπόβλητοι δόξωσιν εἶναι. Κἀπειδὰν προκριθείς τις ἤδη φίλος ᾖ, συνθῆκαι[3] τὸ ἀπὸ τούτου[4] καὶ ὅρκος ὁ μέγιστος, ἦ μὴν καὶ βιώσεσθαι μετ' ἀλλήλων καὶ ἀποθανεῖσθαι, ἢν δέῃ, ὑπὲρ τοῦ ἑτέρου τὸν ἕτερον· καὶ οὕτω ποιοῦσιν. Ἀφ' οὗ[5] γὰρ ἄν, ἐντεμόντες ἅπαξ τοὺς δακτύλους, ἐνσταλάξωσι τὸ αἷμα εἰς κύλικα, καὶ τὰ ξίφη ἄκρα[6] βάψαντες ἅμα ἀμφότεροι ἐπισχόμενοι πίωσιν, οὐκ ἔστιν ὅ,τι τὸ μετὰ τοῦτο αὐτοὺς διαλύσειεν ἄν. Ἐφεῖται[7] δὲ τὸ μέγιστον[8] ἄχρι τριῶν εἰς τὰς συνθήκας εἰσιέναι· ὅστις γὰρ ἂν πολύφιλος ᾖ, τούτου τὴν φιλίαν οἴονται οὐκέθ' ὁμοίως ἰσχυρὰν εἶναι, πρὸς πολλὰς εὐνοίας διαιρεθεῖσαν.

11. Fortsetzung und Schluß.

Ἐπειδὰν Σκύθης τις, ἀδικηθεὶς πρὸς ἑτέρου, ἀμύνασθαι βουλόμενος ἴδῃ[9] καθ' ἑαυτὸν[10] οὐκ ἀξιόμαχος ὤν, βοῦν ἱερεύσας[11] τὰ μὲν κρέα κατακόψας ἥψησεν[12], αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν κάθηται ἐπ' αὐτῆς, εἰς τοὐπίσω[13] παραγαγὼν τὼ[14] χεῖρε, ὥσπερ οἱ ἐκ τῶν ἀγκώνων δεδεμένοι[15]· καὶ τοῦτό ἐστι τοῖς Σκύθαις ἡ μεγίστη ἱκετηρία. Παρακειμένων δὲ τῶν κρεῶν τοῦ βοός, προσίασιν οἱ οἰκεῖοι καὶ τῶν ἄλλων ὁ βουλόμενος[16], καὶ μοῖραν ἕκαστος λαβών, ἐπιβὰς[17]

---

1) scil. *ποιοῦσι.* 2) der Unterschied in den Modis *διαμαρτάνοιεν* und *δόξωσιν* liegt darin, daß der Optativ die Absicht des Sprechenden nur als Wunsch, als eine genährte Hoffnung ausspricht, während durch den Conjunctiv die sich nothwendig ergebende Folge bezeichnet wird. 3) scil. *γίγνονται.* 4) *τὸ ἀπὸ τούτου,* hierauf, sofort. Aehnliche adverbiale Redensarten werden mit dem Artikel häufig gebildet; es findet sich die Formel bei Lucian in verschiedenen Wendungen, so gleich unten *τὸ μετὰ τοῦτο,* Char. c. 7. *τὸ ἐπὶ τούτῳ* ꝛc. 5) *ἀφ' οὗ,* seitdem. 6) *τὰ ξίφη ἄκρα,* die Schwerter an der Spitze, d. i. die Spitze der Schw., nicht die spitzigen Schw., s. Buttm. §. 125, A. 4. 7) *ἐφίημι.* 8) höchstens. 9) *ἴδῃ — οὐκ ὤν* 'sieht (erkennt), daß er nicht ist.' 10) *καθ' ἑαυτόν,* für sich allein. 11) *ἱερεύσας* durch und, *κατακόψας* durch nachdem aufzulösen. 12) *ἕψω;* über den Aor. s. Buttm. §. 137, A. 5 und die Note zu Luc. Char. 19, 2. 13) hinter dem Rücken. 14) Buttm. §. 123, 4. 15) wörtlich: die an den Armen gebunden sind, d. i. denen die Arme rückwärts gebunden sind (lacerti restricti bei Horat. Od. III. 5, 35). 16) 'und wer von den übrigen will, wer sonst noch Lust hat.' 17) *λαβών* mit nachdem, *ἐπιβάς* mit und aufzulösen.

τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖται κατὰ δύναμιν ὁ μὲν πέντε ἱππέας παρέξειν ἀσίτους καὶ ἀμίσθους[1], ὁ δὲ δέκα, ὁ δὲ πλείους, ὁ δὲ ὁπλίτας ἢ πεζοὺς ὁπόσους ἂν δύνηται, ὁ δὲ μόνον ἑαυτόν[2], ὁ πενέστατος. Ἀθροίζεται οὖν ἐπὶ τῆς βύρσης πολὺ πλῆθος ἐνίοτε, καὶ τὸ τοιοῦτον σύνταγμα βεβαιότατόν τέ ἐστι συμμεῖναι[3] καὶ ἀπρόσμαχον τοῖς ἐχθροῖς, ἅτε[4] καὶ ἔνορκον ὄν· τὸ γὰρ ἐπιβῆναι τῆς βύρσης ὅρκος ἐστίν.

12. Beispiele scythischer Freundschaft.

a. Belittas und Basthes.

Βελίττας ἀνὴρ Σκύθης, ἐπεὶ κατασπασθέντα ἐκ τοῦ ἵππου ὑπὸ λέοντος εἶδε Βάσθην τὸν φίλον (ἅμα δὲ ἔτυχον θηρῶντες), καὶ ἤδη ὁ λέων περιπλακεὶς[5] αὐτῷ ἐνεπεφύκει τῷ λαιμῷ καὶ τοῖς ὄνυξιν ἐσπάραττε[6], καταπηδήσας[7] καὶ αὐτὸς ἐπιπίπτει[8] κατόπιν τῷ θηρίῳ καὶ περιέσπα, πρὸς ἑαυτὸν παροξύνων καὶ μετάγων, καὶ διὰ τῶν ὀδόντων μεταξὺ διείρων τοὺς δακτύλους, καὶ τὸν Βάσθην, ὡς οἷόν τε ἦν, ὑπεξελεῖν[9] πειρώμενος τοῦ δήγματος· ἄχρι δὴ ὁ λέων ἀφεὶς ἐκεῖνον ἡμιθνῆτα ἤδη ἐπὶ τὸν Βελίτταν ἀπεστράφη, καὶ συμπλακεὶς ἀπέκτεινε κἀκεῖνον· ὁ δὲ ἀποθνήσκων τὸ γοῦν τοσοῦτον ἔφθη[10] πατάξας τῷ ἀκινάκῃ τὸν λέοντα εἰς τὸ στέρνον, ὥστε ἅμα πάντες ἀπέθανον. Καὶ ἔθαψαν οἱ Σκύθαι αὐτούς, δύο τάφους ἀναχώσαντες πλησίον, ἕνα μὲν τῶν φίλων, ἕνα δὲ καταντικρὺ τοῦ λέοντος.

13. b. Abauchas und Gyndanes.

Ἀβαύχας ἀνὴρ Σκύθης ἧκέ ποτε εἰς τὴν Βορυσθενιτῶν

1) d. i. solche, denen der Führer des Heers weder Unterhalt (*σῖτος*) noch Sold (*μισθός*) zu geben braucht. 2) sich, seine Person. 3) Infinitiv der näheren Bestimmung: das verlässigste im Zusammenbleiben; Buttm. §. 140, 2. 4) *ἅτε — ὄν* 'weil es auch eidlich verpflichtet ist.' Buttm. §. 144, A. 14. 5) Aor. Pass. mit medialer Bedeutung. Eben so steht unten *ἀπεστράφη*. 6) scil. *αὐτόν*. 7) *καταπηδ. καὶ αὐτός*, sprang auch er vom Pferde; mit *καταπ.* beginnt der Nachsatz. 8) *ἐπιπίπτει — περιέσπα*. Lucian verbindet häufig das historische Präsens mit einem Präteritum, und zwar so, daß er mit dem Präsens das Hauptmoment in der Erzählung einführt, durch die Präterita sodann die einzelnen Umstände, die aus der Haupthandlung erfolgten, schildert; so in der ganz ähnl. Stelle in dem nächsten Abschnitt: *πυρκαϊὰ μεγάλη ἐξανίσταται καὶ πάντα περιεκλείετο καὶ περιεῖχεν ἡ φλόξ*. 9) *ὑπεξαιρέω*. 10) *τὸ γοῦν — πατάξας* 'sterbend hatte er doch wenigstens noch so tief vorher (*ἔφθη*) den Löwen getroffen 2c.'

πόλιν, ἐπαγόμενος καὶ γυναῖκα, ἧς ἤρα μάλιστα, καὶ παιδία δύο· τὸ μὲν ἐπιμαστίδιον ἄρρεν, τὸ δὲ ἕτερον κόρη ἑπτέτις ἦν· συναπεδήμει δὲ καὶ ἑταῖρος αὐτοῦ Γυνδάνης, οὗτος μὲν καὶ[1] *νοσῶν ἀπὸ τραύματος, ὃ*[2] *ἐτέτρωτο*[3] *κατὰ τὴν ὁδὸν ὑπὸ λῃστῶν ἐπιπεσόντων*[4] *σφίσι· διαμαχόμενος γὰρ πρὸς αὐτοὺς ἐλαύνεται εἰς τὸν μηρόν, ὥστε οὐδὲ ἑστάναι*[5] *ἐδύνατο ὑπὸ τῆς ὀδύνης. Νύκτωρ δὲ καθευδόντων*[6] *(ἔτυχον γὰρ ἐν ὑπερῴῳ τινὶ οἰκοῦντες) πυρκαϊὰ μεγάλη ἐξανίσταται*[7]*, καὶ πάντα περιεκλείετο*[8] *καὶ περιεῖχεν ἡ φλὸξ ἁπανταχόθεν τὴν οἰκίαν. Ἐνταῦθα δὴ ἀνεγρόμενος*[9] *ὁ Ἀβαύχας, καταλιπὼν τὰ παιδία κλαυθμυριζόμενα*[10] *καὶ τὴν γυναῖκα ἐκκρεμαμένην ἀποσεισάμενος καὶ σώζειν αὑτὴν παρακελευσάμενος, ἀράμενος τὸν ἑταῖρον κατῆλθε καὶ ἔφθη*[11] *διεκπαίσας, καθ' ὃ*[12] *μηδέπω τελέως ἀπεκέκαυτο ὑπὸ τοῦ πυρός. Ἡ γυνὴ δὲ φέρουσα τὸ βρέφος εἵπετο, ἀκολουθεῖν κελεύσασα καὶ τὴν κόρην· ἡ δὲ*[13] *ἡμίφλεκτος ἀφεῖσα τὸ παιδίον ἐκ τῆς ἀγκάλης μόλις διεπήδησε τὴν φλόγα, καὶ ἡ παῖς σὺν αὐτῇ, παρὰ μικρὸν ἐλθοῦσα*[14] *κἀκείνη ἀποθανεῖν. Καὶ ἐπειδὴ ὠνείδισέ τις ὕστερον τὸν Ἀβαύχαν, διότι προδοὺς τὰ τέκνα καὶ τὴν γυναῖκα Γυνδάνην ἐξεκόμισεν· 'ἀλλὰ παῖδας μὲν' ἔφη 'καὶ αὖθις ποιήσασθαί μοι ῥᾴδιον, καὶ ἄδηλον εἰ*[15] *ἀγαθοὶ ἔσονται οὗτοι· φίλον δὲ οὐκ ἂν εὕροιμι ἄλλον ἐν πολλῷ χρόνῳ τοιοῦτον, οἷος Γυνδάνης ἐστί, πεῖράν μοι πολλὴν τῆς εὐνοίας παρεσχημένος.'*

14. Dandamis und Amizokes.

Τετάρτη μὲν ἦν ἡμέρα τῆς φιλίας Δανδάμιδι καὶ Ἀμιζώκῃ,

---

1) *οὗτος — καί*, dieser noch dazu. 2) Buttm. §. 131, 4. 134, A. 2. 3) *τιτρώσκω*. 4) *ἐπιπίπτω*. 5) B. §. 107, A. II, 3; Engl. §. 191, A. 1. 6) scil. *αὐτῶν*. 7) S. 121, A. 8. 8) sc. *ὑπὸ τῆς πυρκαϊᾶς*, alles wurde eingeschlossen, d. i. alle Auswege wurden versperrt. 9) *ἀνεγείρω*; das erste Particip ist mit als aufzulösen; die folgenden Participia gebe man durch Hauptsätze: er ließ die Kinder zurück und ꝛc., den Freund aber nahm er auf sich (*ἀράμενος*) und ꝛc.' 10) *τὰ παιδία κλ.*, nicht 'die wimmernden Kinder,' sondern 'die Kinder, wiewohl sie wimmerten.' Eben so ist das Particip *ἐκκρεμαμένην* zu fassen. 11) in *φθάνω* mit Particip liegt öfters der Begriff von kaum, zur Noth, wie es hier zu fassen ist. 12) *καθ' ὃ — πυρός* 'auf welcher Seite (qua) das Haus noch nicht völlig vom Feuer verzehrt war.' Lucian scheint hier in *ἀπεκέκαυτο* ein zu starkes Wort gebraucht zu haben. 13) diese nun, scil. *ἡ γυνή*. 14) i. e. cum non multum abfuisset, quin et ipsa exstingueretur; s. das Wörterverz. unter *ἔρχεσθαι*. 15) ob.

ἀφ' οὗ[1] τὸ ἀλλήλων αἷμα συνεπεπώκεσαν[2], ἧκον δὲ[3] Σκύθαις ἐπὶ τὴν χώραν Σαυρομάται μυρίοις μὲν ἱππεῦσιν, οἱ πεζοὶ δὲ τρὶς τοσοῦτοι ἐπεληλυθέναι[4] ἐλέγοντο. Οἷα δὲ[5] οὐ προϊδομένοις τὴν ἔφοδον αὐτῶν ἐπεισπεσόντες ἅπαντας μὲν τρέπουσι, πολλοὺς δὲ τῶν μαχίμων κτείνουσι, τοὺς δὲ καὶ ζῶντας ἀπάγουσι, πλὴν εἴ τις ἔφθη[6] διανηξάμενος εἰς τὸ πέραν τοῦ Ταναΐδος ποταμοῦ, ἔνθα τοῖς Σκύθαις τὸ ἥμισυ τοῦ στρατοπέδου καὶ μέρος τῶν ἁμαξῶν[7] ἦν. Ὁ δὲ Ἀμιζώκης ἀγόμενος (ἑαλώκει[8] γάρ) ἐβόα τὸν φίλον ὀνομαστὶ κακῶς δεδεμένος, καὶ ὑπεμίμνησκε τοῦ αἵματος καὶ τῆς κύλικος[9]· ὧν ἀκούσας ὁ Δάνδαμις οὐδὲν ἔτι μελλήσας[10] ἁπάντων ὁρώντων διανήχεται εἰς τοὺς πολεμίους. Καὶ οἱ μὲν Σαυρομάται διηρμένοι[11] τοὺς ἄκοντας ὥρμησαν ἐπ' αὐτὸν ὡς κατακεντήσοντες, ὁ δὲ ἐβόα τὸ Ζίριν[12]· τοῦτο δὲ ἤν τις εἴπῃ, οὐκέτι φονεύεται ὑπ' αὐτῶν, ἀλλὰ δέχονται αὐτὸν ὡς ἐπὶ λύτροις ἥκοντα[13]. Καὶ δὴ ἀναχθεὶς πρὸς τὸν ἄρχοντα αὐτῶν ἀπῄτει τὸν φίλον, ὁ δὲ λύτρα ᾔτει· μὴ γὰρ προήσεσθαι[14], εἰ μὴ μεγάλα ὑπὲρ αὐτοῦ λάβοι.

15. Fortsetzung und Schluß.

Ὁ Δάνδαμις δέ 'ἃ μὲν εἶχον,' φησίν 'ἅπαντα διήρπασται ὑφ' ὑμῶν, εἰ δέ τι δύναμαι γυμνὸς ὑποτελέσαι, ἕτοιμος[15] ὑποστῆναι ὑμῖν, καὶ πρόσταττε ὅ,τι ἂν θέλῃς· εἰ βούλει δέ, ἐμὲ ἀντὶ τούτου λαβὼν[16] κατάχρησαι πρὸς ὅ,τι σοι φίλον[17].' Ὁ δὲ Σαυρομάτης 'οὐδέν[18]' ἔφη 'δεῖ ὅλον κατέχεσθαί σε, καὶ ταῦτα[19] Ζίριν[20] ἥκοντα· σὺ δὲ ὧν ἔχεις μέρος[21] καταβαλὼν

---

1) s. S. 120, 5. 2) *συμπίνω.* Ueber die Sache s. den 10. Abschnitt dieser Erzählungen. 3) *ἧκον δέ*, da kamen. 4) *ἐπέρχομαι.* 5) *οἷα δὲ — ἐπεισπεσόντες*, weil sie jedoch überfallen hatten. Buttm. §. 144, Anm. 14. 6) Buttm. §. 144, Anm. 6. 7) *ἅμαξα* hier Streitwagen. 8) *ἁλίσκομαι.* 9) s. den 10. Abschnitt dieser Erzählungen. 10) *μέλλω* hat im Aor. fast ausschließlich die Bedeutung zaudern, zögern. 11) Perf. Medii von *διαίρω.* 12) das Wort 'Zirin,' vgl. S. 113, 4. 13) 'als einen, der in der Absicht (*ἐπί*) einer Auslösung gekommen ist.' 14) 'denn (sagte er) er werde ihn nicht freigeben.' 15) sc. *εἰμί.* Buttm. §. 129, A. 18. 16) nimm mich und 2c. 17) *κατάχρησαι — φίλον* 'fange mit mir an, was du immer willst;' kurz für: *κατάχρησαί μοι, πρὸς ὅτι καταχρήσασθαί σοι φίλον ἐστίν.* 18) verstärkt für *οὐ*; so oben *οὐδὲν ἔτι μελλήσας.* 19) *καὶ ταῦτα,* und zwar, d. i. zumal. 20) mit dem Rufe Zirin; man ergänze zu *Ζίριν: βοῶντα.* 21) i. e. *μέρος τούτων ἃ ἔχεις.*

ἄγου τὸν φίλον.’ Ἤρετο ὁ Δάνδαμις, ὅ,τι καὶ[1] βούλεται λαβεῖν· ὁ δὲ τοὺς ὀφθαλμοὺς ᾔτησεν. Ὁ δὲ αὐτίκα παρέσχεν ἐκκόπτειν[2] αὐτούς· κἀπειδὴ ἐξεκέκοπτο[3] καὶ ἤδη τὰ λύτρα εἶχον οἱ Σαυρομάται, παραλαβὼν τὸν Ἀμιζώκην ἐπανῄει ἐπερειδόμενος αὐτῷ, καὶ ἅμα διανηξάμενοι ἀπεσώθησαν πρὸς τοὺς οἰκείους[4]. Τοῦτο γενόμενον παρεμυθήσατο ἅπαντας Σκύθας, καὶ οὐκέτι ἡττᾶσθαι[5] ἐνόμιζον, ὁρῶντες ὅτι τὸ μέγιστον αὐτοῖς τῶν ἀγαθῶν οὐκ ἀπήγαγον οἱ πολέμιοι, ἀλλ’ ὅτι ἦν[6] παρ’ αὐτοῖς ἡ ἀγαθὴ γνώμη καὶ ἡ πρὸς τοὺς φίλους πίστις. Καὶ τοὺς Σαυρομάτας δὲ τὸ αὐτὸ οὐ μετρίως ἐφόβησε, λογιζομένους, πρὸς οἵους ἄνδρας ἐκ παρασκευῆς[7] μαχοῦνται, εἰ καὶ[8] ἐν τῷ ἀπροσδοκήτῳ τότε ὑπερέσχον· ὥστε νυκτὸς ἐπιγενομένης, ἀπολιπόντες τὰ πλεῖστα τῶν βοσκημάτων[9] καὶ τὰς ἁμάξας ἐμπρήσαντες, ᾤχοντο[10] φεύγοντες. Ὁ μέντοι Ἀμιζώκης οὐκέτι ἠνέσχετο[11] βλέπειν αὐτὸς ἐπὶ τυφλῷ[12] τῷ Δανδάμιδι, ἀλλὰ τυφλώσας[13] καὶ αὐτὸς ἑαυτὸν, ἀμφότεροι ἐκάθηντο ὑπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν δημοσίᾳ μετὰ πάσης τιμῆς τρεφόμενοι.

16. Toxaris und Sisinnes.

(Toxaris erzählt selbst diese Begebenheit aus seinem Leben einem Griechen Mnesippus.)

ΤΟΞΑΡΙΣ. Ἄκουσον, ὦ Μνήσιππε, οἷά μοι φίλος, Σισίνης τοὔνομα[14], ὑπηρέτησεν. Ὅτε γὰρ Ἀθήναζε ἀπῄειν οἴκοθεν

---

1) ‘was er denn eigentlich nehmen wolle?’ 2) Buttm. §. 140, 3. 3) scil. *τοὺς ὀφθαλμούς*, s. Buttm. §. 134, 7. 4) zu den ihrigen. 5) besiegt zu sein; vgl. S. 113, 2. 6) verblieben war. 7) nach getroffener Vorbereitung, d. h. nach gehöriger Rüstung, im Gegensatz zu der Schlappe, die sie durch unerwarteten Ueberfall erlitten hatten. 8) ‘wenn sie (die Saurom.) auch damals bei jenem plötzlichen Ueberfalle den Sieg davon getragen hatten.’ 9) die sie bei ihrem Einfall geraubt hatten. 10) *οἴχομαι* mit Partic. entspricht den adverbialen Begriffen fort, hinweg, ent, womit häufig der Begriff einer Eilfertigkeit ausgedrückt ist. Das Imperf. von *οἴχομαι* hat, wie das Imperf. von *ἥκω*, Aorist- und Plusqpf.-Bedeutung. 11) *ἀνέχομαι.* Buttm. §. 86, A. 4; Englm. §. 106, A. 1. 12) *ἐπὶ τυφλῷ*, bei dem blinden D., d. i. während D. blind war. 13) das Partic. junctum wird im Griech. statt des Gen. absol. in der Regel auch dann gesetzt, wenn der Hauptsatz ein collectives Subject enthält, und im Nebensatze ein Theil von diesem als Subject erscheint; z. B. Herod. I, 7. *Ἡρακλεῖδαι ἦρξαν τῆς Λυδίας ἔτεα πέντε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς* (indem immer Sohn vom Vater ꝛc.) *ἐκδεκόμενος τὴν ἀρχήν.* Hom. Iliad. III, 211. *ἄμφω δ’ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς*, ‘wie sie beide so da saßen, erschien stattlicher Odysseus.’ 14) Buttm. §. 131, 7.

ἐπιθυμίᾳ παιδείας τῆς Ἑλληνικῆς, κατέπλευσα ἐς Ἄμαστριν τὴν Ποντικήν· ἐν προσβολῇ δέ ἐστι τοῖς ἀπὸ Σκυθίας πλέουσιν οὐ πολὺ τῆς Καράμβεως ἀπέχουσα ἡ πόλις· εἵπετο δὲ ὁ Σισίννης, ἑταῖρος ἐκ παιδὸς ὤν. Ἡμεῖς μὲν οὖν καταγωγήν τινα ἐπὶ τῷ λιμένι σκεψάμενοι κἀκ τοῦ πλοίου εἰς αὐτὴν μετασκευασάμενοι ἠγοράζομεν, οὐδὲν πονηρὸν ὑφορώμενοι· ἐν τοσούτῳ[1] δὲ κλῶπές τινες ἀνασπάσαντες τὸ κλεῖστρον, ἐκφέρουσιν ἅπαντα, ὡς[2] μηδὲ τὰ εἰς ἐκείνην τὴν ἡμέραν διαρκέσοντα καταλιπεῖν. Ἐπανελθόντες οὖν οἴκαδε καὶ τὸ γεγονὸς[3] μαθόντες, δικάζεσθαι μὲν τοῖς γείτοσι πολλοῖς οὖσιν[4] ἢ τῷ ξένῳ οὐκ ἐδοκιμάζομεν, δεδιότες[5] μὴ συκοφάνται δόξωμεν τοῖς πολλοῖς, λέγοντες, ὡς ὑφείλετο[6] ἡμῶν τις δαρεικοὺς τετρακοσίους καὶ ἐσθῆτα πολλὴν καὶ δάπιδάς τινας καὶ τἄλλα ὁπόσα εἴχομεν.

17. Fortsetzung.

Ἐσκοπούμεθα δὲ περὶ τῶν παρόντων ὅ,τι πράξομεν[7], ἄποροι παντάπασιν ἐν τῇ ἀλλοδαπῇ[8] γενόμενοι. Κἀμοὶ μὲν ἐδόκει ὡς εἶχον[9] αὐτοῦ παραβύσαντα ἐς τὴν πλευρὰν τὸν ἀκινάκην ἀπελθεῖν τοῦ βίου, πρὶν ἀγεννές τι ὑποστῆναι λιμῷ ἢ δίψει πιεσθέντα· ὁ δὲ Σισίννης παρεμυθεῖτο καὶ ἱκέτευε μηδὲν τοιοῦτον ποιεῖν· αὐτὸς γὰρ ἐπινοήσειν[10] ὅθεν ἕξομεν[11] ἱκανῶς τὰς τροφάς. Καὶ τότε μὲν ξύλα ἐκ τοῦ λιμένος παρεκόμισε[12], καὶ ἧκεν[13] ἡμῖν ἀπὸ τοῦ μισθοῦ ἐπισιτισάμενος. Ἕωθεν δὲ περιιὼν κατὰ τὴν ἀγορὰν εἶδε πομπήν[14] τινά, ὡς ἔφη, γενναίων καὶ καλῶν νεανίσκων· μονομαχεῖν δὲ οὗτοι ἐπὶ

1) s. S. 115, 1. 2) für ὥστε, so daß. 3) γίγνομαι. 4) πολλοῖς οὖσιν, da ihrer viele waren; über den Dativ s. das Wörterverz. unter δικάζεσθαι. 5) δεῖσαι. 6) ὑφαιρέομαι. 7) ὅ,τι πράξομεν, was wir anfangen sollten; eben so weiter unten ἐπινοήσειν, ὅθεν ἕξομεν. 8) Buttm. §. 125, 5. 9) ὡς εἶχον αὐτοῦ, wie ich war auf der Stelle, d. i. sogleich an Ort und Stelle; vergl. Xen. Cyrop. VII, 1, 1. ὁ δὲ Κῦρος ὥσπερ εἶχεν ἑστηκὼς ἠρίστα, Cyrus stans, ut erat, prandium sumebat. 10) der Infin. hängt von dem Begriffe sagen, der in ἱκέτευε liegt, ab; eben so sagen wir: denn er werde auffinden ꝛc.; vgl. Luc. Char. c. 3. ἐγὼ δὲ τὴν ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὸ βέλτιον, und oben Nr. 14 a. E. 11) 'wovon wir uns verschaffen könnten;' es heißt ἕξομεν statt ἕξουσιν, weil der Erzähler selbst einer der Betheiligten war. 12) d. i. er trug für Lohn gelandetes Holz in die Stadt. 13) kam zurück. 14) man denke sich, daß diese Gladiatoren, ehe sie auftraten, im pomphaften Aufzuge durch die Stadt zogen, um desto mehr die Schaulust des Publikums zu reizen.

μισθῷ ἀνδρολογηθέντες εἰς τρίτην ἡμέραν[1] διαγωνιεῖσθαι ἔμελλον[2]. Καὶ δὴ τὸ πᾶν ὡς εἶχεν ἀμφ' αὐτοὺς πυθόμενος[3], ἐλθὼν ὡς[4] ἐμέ, 'μηκέτι, ὦ Τόξαρι,' ἔφη 'πένητα σεαυτὸν λέγε· εἰς γὰρ τρίτην ἡμέραν πλούσιόν σε ἀποφανῶ.' Ταῦτα εἶπε, καὶ πονηρῶς τὸ μεταξὺ[5] ἀποζήσαντες, ἐνστάσης ἤδη τῆς θέας[6], ἐθεώμεθα καὶ αὐτοί· παραλαβὼν γάρ με ὡς ἐπὶ τερπνόν τι καὶ παράδοξον θέαμα τῶν Ἑλληνικῶν[7], ἄγει[8] εἰς τὸ θέατρον. Καὶ καθίσαντες ἑωρῶμεν τὸ μὲν πρῶτον θηρία κατακοντιζόμενα καὶ ὑπὸ κυνῶν διωκόμενα καὶ ἐπ' ἀνθρώπους δεδεμένους ἀφιέμενα, κακούργους τινάς, ὡς εἰκάζομεν.

18. Schluß.

Ἐπεὶ δὲ εἰσῆλθον οἱ μονομάχοι, καί τινα παραγαγὼν ὁ κῆρυξ εὐμεγέθη νεανίσκον εἶπεν, ὅστις ἂν ἐθέλῃ τούτῳ μονομαχῆσαι, ἥκειν εἰς τὸ μέσον, δραχμὰς ληψόμενον[9] μυρίας μισθὸν τῆς μάχης, ἐνταῦθα ἐξανίσταται ὁ Σισίννης, καὶ καταπηδήσας[10] ὑπέστη μαχεῖσθαι καὶ τὰ ὅπλα ᾔτει. Καὶ τὸν μισθὸν λαβών, τὰς μυρίας[11], ἐμοὶ φέρων ἐνεχείρισε· καὶ 'εἰ μὲν κρατήσαιμι, ὦ Τόξαρι,' εἶπεν 'ἅμα ἄπιμεν[12] ἔχοντες τὰ ἀρκοῦντα· ἢν δὲ πέσω[13], θάψας με ὑποχώρει ὀπίσω ἐς Σκύθας.' Ἐγὼ μὲν ἐπὶ τούτοις[14] ἐκώκυον· ὁ δὲ λαβὼν τὰ ὅπλα, τὰ μὲν ἄλλα περιεδήσατο, τὸ κράνος δὲ οὐκ ἐπέθηκεν, ἀλλ' ἀπὸ γυμνῆς τῆς κεφαλῆς[15] καταστὰς ἐμάχετο. Καὶ τὸ μὲν πρῶτον τιτρώσκεται αὐτὸς καμπύλῳ[16] τῷ ξίφει ὑποτμηθεὶς[17] τὴν ἰγνύαν, ὥστε αἷμα ἔρρει πολύ· ἐγὼ δὲ προετεθνήκειν ἤδη[18] τῷ δέει· θρασύτερον δὲ ἐπιφερόμενον τηρήσας τὸν

1) 'auf den dritten Tag, d. i. in drei Tagen.' 2) **ἔμελλον**, sollten, d. h. es war bestimmt, daß sie rc. 3) **τὸ πᾶν — πυθόμενος**, 'nachdem er alles erfahren hatte, was es mit diesen Leuten für eine Bewandtniß hatte.' 4) Buttm. §. 146, A. 1. 5) in der Zwischenzeit; vgl. S. 120, 4. 6) 'als endlich der Tag des Schauspieles gekommen war.' 7) statt **θέαμα Ἑλληνικόν**, s. Buttm. §. 132, Anm. 3. 8) **ἄγει — ἑωρῶμεν**, s. S. 121, 8. 9) **ἥκειν — ληψόμενον** 'der solle hervortreten um zu empfangen.' Ueber den Infin. vgl. S. 114, 7. **εἰπὼν προσδοῦναι**, S. 117, 6. **ἀνεβόησαν — ἀπονέμειν**. 10) von den erhöhten Sitzen der Zuschauer in die Tiefe der Arena. 11) **τὰς μυρίας**, nemlich die 10,000 Drachmen. 12) scil. **Ἀθήναζε**. 13) **πίπτω**. 14) bei diesen Worten. 15) mit entblößtem, unbewehrtem Haupte, capite nudo. 16) nicht: mit dem krummen Säbel, sondern 'indem der Hieb des Schwertes krumm, d. i. in einem Bogen geführt wurde;' vgl. Nr. 10, S. 120. **τὰ ξίφη ἄκρα βάψαντες**. 17) **ὑποτέμνω**; über die Construction B. §. 134, 7. 18) soviel als **παρὰ μικρόν**, ich wäre fast gestorben.

ἀντίπαλον, παίει[1] εἰς τὸ στέρνον καὶ διήλασεν, ὥστε αὐτίκα ἐπεπτώκει[2] πρὸ τοῖν ποδοῖν αὐτοῦ· ὁ δὲ κάμνων καὶ αὐτὸς ἀπὸ τοῦ τραύματος ἐπεκάθιζε τῷ νεκρῷ, καὶ μικροῦ δεῖν[3] ἀφῆκεν αὐτὸν ἡ ψυχή· ἀλλ' ἐγὼ προσδραμὼν[4] ἀνέστησα καὶ παρεμυθησάμην. Ἐπεὶ δὲ ἀφεῖτο[5] ἤδη νενικηκώς, ἀράμενος αὐτὸν ἐκόμισα εἰς τὴν οἰκίαν· καὶ ἐπὶ πολὺ θεραπευθεὶς ἐπέζησε μὲν καὶ ἔστι μέχρι νῦν ἐν Σκύθαις, γήμας[6] τὴν ἐμὴν ἀδελφήν, χωλὸς δέ ἐστιν ὅμως ἀπὸ τοῦ τραύματος.

---

1) παίει — διήλασεν, s. S. 121, 8. 2) gefallen war, d. i. todt da lag. 3) s. S. 103, 3. 4) προστρέχω. 5) ἀφίημι. 6) γαμέω.

V.

Charon, ein Dialog des Lucian.

Inhalt.

Lucian fingiert in diesem Gespräche, es sei Charon, der Fährmann der abgeschiedenen Seelen, nachdem er auf einen Tag von dem Beherrscher des Schattenreichs Urlaub erhalten hätte, auf die Oberwelt gekommen, um das Leben und Treiben auf derselben kennen zu lernen. Daselbst begegnet er seinem alten Freunde Hermes, der ihm die Todten in die Unterwelt zuzuführen pflegte, und stellt an diesen die Bitte, ihm auf der Oberwelt als Wegweiser zu dienen. Um nun einen größern Ueberblick zu gewinnen, häufen sie mehrere Berge aufeinander, und Hermes zeigt von diesem erhabenen Standpunkte dem Charon das eitle und thörichte Thun und Treiben der Menschen, die der Art dahin leben, als hätten sie niemals den Tod zu gewärtigen. Die Form dieses vortrefflichen Gesprächs, in welchem die Lehren wahrer Weisheit mit der heitersten Laune gewürzt erscheinen, ist die dem Lucian eigenthümliche dramatisch-dialogische. Die Zeit, in die das Gespräch verlegt ist, ist die des Cyrus und Crösus, und fällt in die Mitte des sechsten Jahrhunderts vor Christus. Der Ort endlich, wo die Weltbeschauung vor sich geht, ist die Markscheide zwischen den Ländern Phocis und Thessalien.

ΧΑΡΩΝ Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ.

ΕΡΜΗΣ ΚΑΙ ΧΑΡΩΝ.

1. *ΕΡΜ.* Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπολιπὼν δεῦρο ἀνελήλυθας ἐς τὴν ἡμετέραν[1], οὐ πάνυ εἰωθὼς ἐπιχωριάζειν τοῖς ἄνω[2] πράγμασιν;

ΧΑΡ. Ἐπεθύμησα, ὦ Ἑρμῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ, ἢ τίνων στερόμενοι πάντες οἰμώζουσι κατιόντες παρ' ἡμᾶς· οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. Αἰτησάμενος οὖν παρὰ τοῦ Ἅιδου καὶ αὐτός[3], ὥσπερ ὁ Θετταλὸς[4] ἐκεῖνος νεανίσκος, μίαν ἡμέραν λιπόνεως[5] γενέσθαι, ἀνελήλυθα ἐς τὸ φῶς· καί μοι δοκῶ ἐς δέον[6] ἐντετυχηκέναι σοι· ξεναγήσεις γάρ εὖ οἶδ' ὅτι[7] με συμπερινοστῶν καὶ δείξεις ἕκαστα, ὡς[8] ἂν εἰδὼς ἅπαντα.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διὶ[9] τῶν ἀνθρωπικῶν[10]· ὁ δὲ ὀξύθυμός ἐστι, καὶ δέδια μὴ βραδύναντά με ὅλον ὑμέτερον[11] ἐάσῃ εἶναι, παραδοὺς τῷ ζόφῳ, ἤ, ὅπερ τὸν Ἥφαιστον[12] πρῴην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν[13] τοῦ ποδὸς[14] ἀπὸ τοῦ θε-

1. 1) sc. γῆν (s. Buttm. §. 125, 5), in das Reich der Oberwelt, nähere Bestimmung des vorausgehenden δεῦρο. 2) Buttm. §. 125, 6. 3) καὶ αὐτός, auch selbst, d. i. auch meinerseits, gleichfalls, wie et ipse. 4) neml. Protesilaos. Dieser war unter den Hellenen, die gegen Troja zogen, sogleich bei der Landung als der erste gefallen, und hatte auf vieles Bitten von Pluto, der hier Hades heißt, auf einen Tag Urlaub erhalten, um zu seiner Gemahlin Laodamia in die Oberwelt zurückzukehren. Luc. Dial. mort. c. 23. 5) λιπόνεως geht zunächst auf den Charon; vom Protesilaos gilt der Ausdruck nur in der allgemeineren Beziehung 'die Unterwelt verlassen, Urlaub erhalten.' 6) ἐς δέον, wie ἐς καιρόν, zur günstigen Zeit, zur guten Stunde. 7) Die Worte εὖ οἶδ' ὅτι (ich weiß recht wohl daß) sind in den Satz eingefügt, ohne auf die Construktion Einfluß zu haben; man übersetze sie hier im Deutschen mit sicherlich, ganz gewiß. 8) ὡς mit Particip, das lat. quippe: weil du ja doch wohl alles kennst. 9) so heißt Zeus als der höchste Gott der Oberwelt und des Olympos im Gegensatz zu Pluton, der gleichsam der Zeus des Schattenreichs (bei den Römern Dis pater) war. 10) von τὶ abhängig. 11) ὑμέτερον, 'daß er mich ganz zu dem eurigen mache.' Der Wirkungskreis des Hermes war nemlich eben so sehr in der Unter- als Oberwelt, indem er Diener (διάκτορος) des Zeus sowohl als Pluto war. 12) nach Hom. Iliad. I, 591. ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο. 13) über τεταγών s. das Anomalenverz. bei Buttm. unter *ΤΑ*, und über die Reduplication ebendas. §. 83, A. 10. 14) 'an dem Fuße,' s. Buttm. §. 132, 5, e. 15) Lucian pflegt in der Regel ὡς, wenn es Absichtspartikel ist, mit Optativ zu construieren, auch wenn im regierenden

σπεσίου βηλοῦ, ὡς ὑποσκάζων γέλωτα καὶ αὐτὸς παρέχοιμι[15] οἰνοχοῶν.

ΧΑΡ. Περιόψει[16] οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα[17] ἑταῖρος καὶ σύμπλους καὶ συνδιάκτορος ὤν; καὶ μὴν καλῶς εἶχεν[18], ὦ Μαίας παῖ, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἢ ἀντλεῖν ἐκέλευσα ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς[19], ὤμους οὕτω καρτεροὺς ἔχων[20], ἤ, εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ· ἐγὼ δὲ πρεσβύτης ὢν τὴν δικωπίαν ἐρέττω μόνος. Ἀλλὰ πρὸς τοῦ πατρός[21], ὦ φίλτατον Ἑρμάδιον, μὴ καταλίπῃς με, περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὡς τι καὶ ἰδὼν ἐπανέλθοιμι· ὡς[22], ἤν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω[23]· καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότει, οὕτω δὴ κἀγώ σοι[24] ἔμπαλιν[25], ἀμβλυώττων πρὸς τὸ φῶς. Ἀλλὰ δός[26] ὦ Κυλλήνιέ μοι ἐς ἀεὶ μεμνησομένῳ[27] τὴν[28] χάριν.

2. ΕΡΜ. Τοῦτο τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί[1] μοι· ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον· ὑπουργητέον δὲ ὅμως· τί γὰρ ἂν[2] καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; Πάντα μὲν οὖν σε ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ· πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο· εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός[3], σὲ δὲ καὶ αὐτὸν κωλύσει[4] ἐνεργεῖν τὰ τοῦ Θανάτου ἔργα, καὶ[5]

Satze eine Hauptzeit vorangeht. 16) **περιοράω.** 17) **καὶ ταῦτα**, und zwar, und noch dazu (**praesertim qui meus amicus sis**). 18) **καλῶς εἶχεν** 'es wäre in der Ordnung, schön von dir,' wie das lat. **atqui decebat, aequum erat.** 19) **ἐκτείνω.** 20) Die kräftigen Schultern werden dem Hermes beigelegt als dem Erfinder und Vorsteher der Ringübungen. 21) bei deinem Vater Zeus (beschwöre ich dich). 22) **ὡς** hier: weil, da, denn. 23) **διαφέρω.** 24) **dativus ethicus**, s. Buttm. §. 133, A. 5. 25) **scil. σφαλήσομαι.** 26) **δός**, gib es zu, thu mir den Gefallen. 27) Fut. III. hier für das einfache Futur, da das Perfect **μεμνῆσθαι χάριν** (Dank wissen) Präsensbedeutung hat. 28) den gebührenden, schuldigen Dank.

2. 1) wird werden. 2) **τί γὰρ ἂν** etc. 'was könnte einer auch anfangen? was will man denn machen, wenn ein Freund einen nöthigt?' 3) **ὑπὸ Διός** gehört zu **κηρύττεσθαι.** Hermes befürchtet, es möchte ihm bei einem längeren Ausbleiben geschehen, was beim Entweichen von Sklaven stattfand, deren Flucht ihre Herren durch den öffentlichen Ausrufer bekannt machen ließen. 4) **scil. τὸ πάντα ἰδεῖν.** 5) Dieser zweite Infinitivsatz enthält die

τὴν Πλούτωνος ἀρχὴν ζημιοῦν[5], μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου[6]· κᾆτα ὁ τελώνης Αἰακὸς[7] ἀγανακτήσει μηδ' ὀβολὸν ἐμπολῶν. Ὡς[8] δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδοις, τοῦτο ἤδη σκεπτέον.

ΧΑΡ. Αὐτός, ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς ξένος ὤν.

ΕΡΜ. Τὸ μὲν ὅλον[9], ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν δεῖ χωρίου, ὡς ἀπ' ἐκείνου πάντα κατίδοις· σοὶ δὲ εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμνομεν[10]· ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας· ἐπεὶ δὲ οὐ θέμις εἰδώλοις ἀεὶ ξυνόντα[11] ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διός, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

3. ΧΑΡ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς, ἐπειδὰν πλέωμεν; Ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ[1] καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην συστεῖλαι ἢ ἐνδοῦναι[2] ὀλίγον τοῦ ποδὸς ἢ συνεκδραμεῖν τῷ πνέοντι[3], ἐγὼ δὲ τὴν ἡσυχίαν[4] ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὸ βέλτιον[5]. Κατὰ ταὐτὰ δὴ καὶ σὺ πρᾶττε, ὁπόσα καλῶς ἔχειν

Angabe der nachtheiligen Folgen, die bei einer Vernachlässigung der Geschäfte des Thanatos eintreten werden. Dieses Glied nun, das als Folgeglied eingeführt sein sollte, ist durch eine im Griech. nicht eben seltene Attraction in dieselbe abhängige Construktion wie das erste Glied gestellt. Tritt eine solche Attraction ein, so ist es gleichgiltig, ob das zweite abhängige Glied zum regierenden Verbum stimmt oder nicht, da dieses ganz in den Hintergrund tritt, und nur die Beziehung der beiden Infinitive zu einander in Betracht kommt. Das logische Verhältniß verlangte nun an der vorliegenden Stelle folgende Anordnung der beiden Sätze: *σὲ δὲ καὶ αὐτὸν κωλύσει τὸ πάντα ἰδεῖν ἐνεργεῖν τὰ τοῦ Θανάτου ἔργα, καὶ οὕτω ζημιώσεις τὴν Πλούτωνος ἀρχήν.* 6) innerhalb langer Zeit. 7) Aeakus, der sonst als einer der Todtenrichter erscheint, wird hier als Pförtner des Hades dargestellt, der das Fährgeld der Abgeschiedenen in Empfang nahm. 8) *ὡς* mit Optativ (s. A. 15. c. 1), damit, auf daß, hier statt des gewöhnlicheren *ὅπως.* 9) *τὸ μὲν ὅλον* 'was die ganze Sache ist, um es kurz zu sagen.' 10) wir wären aller Mühe überhoben, d. h. wir hätten nicht nöthig, uns auf der Erde um hohe Berge umzusehen. Ueber den Indic. Imperf. mit *ἄν* s. §. 106, 6, S. 44. 11) 'daß einer, der immer umgeht.'

3. 1) *ὁπόταν — ἐμπέσῃ* 'wann der Wind schief, von der Seite in das Segel fährt.' Buttm. §. 125, Anm. 4 und oben S. 120, 6. 2) *ἐνδοῦναι* etc. 'ein wenig von dem Segeltau (*πούς*, Schote) nachlassen,' d. h. das Segel etwas weiter auslassen. 3) scil. *ἀνέμῳ.* 4) in dieser Redensart fehlt gewöhnlich der Artikel; hier steht er im prägnanten Sinne: die gewöhnliche, frühere Ruhe beibehalten, wie bei ruhiger See. 5) 'denn das müsse ich

…ρμίζεις, κυβερνήτης νῦν γε ὤν· ἐγὼ δέ, ὥσπερ ἐπιβάταις νό-ος, σιωπῇ καθεδοῦμαι, πάντα[6] πειθόμενος κελεύοντί σοι.

ΕΡΜ. Ὀρθῶς λέγεις· αὐτὸς γὰρ εἴσομαι[7] τί ποιητέον, …ὶ ἐξευρήσω τὴν ἱκανὴν σκοπήν. Ἆρ' οὖν ὁ Καύκασος ἐπι-…δειος; ἢ ὁ Παρνασὸς ὑψηλότερος ἢ ἀμφοῖν[8] ὁ Ὄλυμπος …εινοσί; καίτοι οὐ φαῦλον[9] ὃ ἀνεμνήσθην, ἐς τὸν Ὄλυμπον …ιδών· συγκαμεῖν δέ τι[10] καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ.

ΧΑΡ. Πρόσταττε· ὑπουργήσω γὰρ ὅσα δυνατά.

ΕΡΜ. Ὅμηρος ὁ ποιητής φησι, τοὺς Ἀλωέως υἱέας[11], δύο …ὶ αὐτοὺς[12] ὄντας, ἔτι παῖδας ἐθελῆσαί ποτε τὴν Ὄσσαν …βάθρων ἀνασπάσαντας ἐπιθεῖναι τῷ Ὀλύμπῳ, εἶτα τὸ …ήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην[13] κλίμακα ἕξειν οἰομένους …ὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. Ἐκείνω μὲν οὖν τὼ μειρακίω …ασθάλω γὰρ ἤστην) δίκας ἐτισάτην[14]· νὼ δὲ (οὐ γὰρ ἐπὶ …κῷ τῶν θεῶν ταῦτα βουλεύομεν) τί οὐχὶ[15] οἰκοδομοῦμεν …ὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπ' ἄλληλα τὰ ὄρη, …ἔχοιμεν ἀφ' ὑψηλοτέρου[16] ἀκριβεστέραν τὴν σκοπήν;

4. ΧΑΡ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες[1] ἀναθέ-…αι[2] ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν;

ΕΡΜ. Διὰ τί δ' οὐκ ἄν[3], ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεν-…τέρους εἶναι τοῖν βρεφυλλίοιν ἐκείνοιν, καὶ ταῦτα[4] θεοὺς …άρχοντας;

ΧΑΡ. Οὔκ, ἀλλὰ τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα …ν μεγαλουργίαν[5] ἔχειν.

…ſer verſtehn.' Ueber den Infinitiv ſ. S. 125, 10. 6) in allen Stücken, …nz. 7) ich werde wiſſen, d. h. dafür ſorgen, was zu thun iſt. 8) sc. …ηλότερος. 9) καίτοι etc. 'jedoch da fiel mir kein unebner, übler Gedanke … als ich auf den Olymp blickte.' Er erinnert ſich nemlich, daß einſt die …iden Berge auf den Olymp wälzten, um den Himmel zu ſtürmen, und …jetzt, wenn auch in anderer Abſicht, daſſelbe beginnen könnten. 10) etwas, …h- ein wenig. 11) Otus und Ephialtes; ſ. Hom. Odyss. XI, 313 ff. …) δύο καὶ αὐτούς, die gleichfalls ihrer zwei waren, vgl. cap. I, …3. 13) ἱκανὴν κλίμακα iſt Prädicat, und mit dieſem das Demonſtrativ …reins gemacht: 'indem ſie glaubten, dieſe als hinlängliche Treppe, d. i. …t eine h. T. bekommen zu werden.' 14) ſie wurden von Apollo mit …n getödtet. 15) τί οὐχί, warum nicht? das lat. quidni. 16) von …n höheren Standpunkt aus.

1) da wir nur zwei ſind. 2) scil. τῷ Ὀλύμπῳ. 3) scil. δυ-…εθα. 4) ſ. A. 17, c. I. 5) nach griech. Art zuſammengezogen für: ἀλλ' …ανός τις (ich möchte ſagen, unglaublich) δοκεῖ εἶναι ἡ μεγα-

ΕΡΜ. Εἰκότως· ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιητικός· ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ[6] δυοῖν στίχοιν αὐτίκα ἡμῖν ἀμβατὸν[7] ἐποίησε τὸν οὐρανόν, οὕτω ῥᾳδίως συνθεὶς[8] τὰ ὄρη. Καὶ θαυμάζω, εἴ[9] σοι ταῦτα τεράστια εἶναι δοκεῖ, τὸν Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτὸν εἷς ὢν φέρει ἀνέχων ἡμᾶς ἅπαντας· ἀκούεις[10] δέ γε ἴσως καὶ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ πέρι[11], τοῦ Ἡρακλέους, ὡς διαδέξαιτό ποτε αὐτὸν ἐκεῖνον τὸν Ἄτλαντα καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ.

ΧΑΡ. Ἀκούω καὶ ταῦτα· εἰ[12] δὲ ἀληθῆ, σὺ ἄν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδείητε[13].

ΕΡΜ. Ἀληθέστατα, ὦ Χάρων· ἢ τίνος γὰρ ἕνεκα σοφοὶ[14] ἄνδρες ἐψεύδοντο ἄν; ὥστε[15] ἀναμοχλεύωμεν[16] τὴν Ὄσσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος καὶ ὁ ἀρχιτέκτων[17],

αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον[18].

Ὁρᾷς, ὅπως ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργάσμεθα; φέρ' οὖν ἀναβὰς ἴδω[19], εἰ καὶ ταῦτα[20] ἱκανά, ἢ ἐποικοδομεῖν ἔτι δεήσει.

5. Παπαῖ, κάτω ἔτι ἐσμὲν ἐν ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ μὲν γὰρ τῶν ἑῴων μόγις Ἰωνία καὶ Λυδία φαίνεται, ἀπὸ δὲ τῆς ἑσπέρας οὐ πλέον Ἰταλίας καὶ Σικελίας, ἀπὸ δὲ τῶν ἀρκτῴων τὰ ἐπὶ τάδε[1] τοῦ Ἴστρου μόνον, κἀκεῖθεν ἡ Κρήτη, οὐ πάνυ σαφῶς. Μετακινητέα ἡμῖν, ὦ πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν, εἶτα ὁ Παρνασὸς ἐπὶ πᾶσιν[2].

λουργία, ἣν τὸ πρᾶγμα ἔχει. So heißt es cap. 5. *οὐ γὰρ ἐπὶ μικράν με ταύτην μηχανὴν ἀναβιβάζεις*, was nach deutscher Ausdrucksweise heißen würde: *οὐ γὰρ μικρά ἐστιν αὕτη ἡ μηχανή, ἐφ' ἥν με ἀναβ.* 6) mittelst. 7) epische Form statt *ἀναβατόν*, wegen der Anspielung auf Homer. 8) mit solcher Leichtigkeit setzte er die Berge aufeinander. Wir gebrauchen in ähnlichen Verbindungen einen Hauptsatz, wie es auch hier im Griech. *συνέθηκε τὰ ὄρη* heißen konnte; s. unten cap. 21 in. 9) so viel als *ὅτι*; s. Buttm. §. 139, G, Anm. 3 (60). 10) = *ἀκήκοας*, s. Buttm. §. 137, A. 8. 11) s. Buttm. §. 117, 3, 1. 12) ob. 13) 'dies möget ihr vielleicht wissen.' 14) *σοφοί* hier von den Dichtern zu verstehen; so öfters *σοφία* die Dichtkunst (ähnlich sapientia bei Horat. de art. poet. v. 396). 15) *ὥστε* hier: also, daher. 16) Conjunctivus exhortativus, s. Buttm. §. 139, Anm. 1, I, 2. 17) scil. *Ὅμηρος*. 18) aus Homers Odyss. XI, 315. *Πήλιον* ist Accus., und *ἀναθῶμεν* zu supplieren. 19) *φέρ' οὖν ἀναβὰς ἴδω* 'wohlan nun, ich will hinaufsteigen und sehen;' über *φέρ' ἴδω* s. Buttm. §. 139, Anm. 1. I, 2. 20) *καὶ ταῦτα*, auch, d. i. schon dieses.

5. 1) *τὰ ἐπὶ τάδε*, die diesseitigen Gegenden, was diesseits des

ΧΑΡ. Οὕτω ποιῶμεν· ὅρα μόνον, μὴ λεπτότερον[3] ἐξεργασώμεθα τὸ ἔργον, ἀπομηκύναντες πέρα τοῦ πιθανοῦ, εἶτα συγκαταρριφέντες αὐτῷ πικρᾶς[4] τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν, συντριβέντες τῶν κρανίων[5].

ΕΡΜ. Θάρρει, ἀσφαλῶς ἕξει ἅπαντα· μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω ὁ Παρνασός. Ἰδοὺ δή, ἐπάνειμι αὖθις· εὖ ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ.

ΧΑΡ. Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· οὐ γὰρ ἐπὶ μικράν με ταύτην μηχανὴν[6] ἀναβιβάζεις.

ΕΡΜ. Εἴ γε[7] καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρων, ἅπαντα· οὐκ ἔνι[8] δὲ ἄμφω[9], καὶ ἀσφαλῆ καὶ φιλαθεάμονα εἶναι· ἀλλ' ἔχου μου τῆς δεξιᾶς καὶ φείδου[10] μὴ κατὰ τοῦ ὀλισθηροῦ πατεῖν. Εὖ γε, ἀνελήλυθας καὶ σύ· ἐπείπερ δὲ δικόρυμβος ὁ Παρνασός ἐστι, μίαν ἑκάτερος ἄκραν ἀπολαβόμενοι καθεζώμεθα· σὺ δέ μοι[11] ἤδη ἐν κύκλῳ περιβλέπων ἐπισκόπει ἅπαντα.

6. ΧΑΡ. Ὁρῶ γῆν πολλὴν καὶ λίμνην τινὰ[1] μεγάλην περιρρέουσαν, καὶ ὄρη καὶ ποταμοὺς μείζονας τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος, καὶ ἀνθρώπους πάνυ σμικροὺς καί τινας φωλεοὺς αὐτῶν.

ΕΡΜ. Πόλεις ἐκεῖναί εἰσιν, οὓς[2] φωλεοὺς εἶναι νομίζεις.

ΧΑΡ. Οἶσθα οὖν, ὦ Ἑρμῆ, ὡς οὐδὲν ἡμῖν πέπρακται[3], ἀλλὰ μάτην τὸν Παρνασὸν αὐτῇ[4] Κασταλίᾳ καὶ τὴν Οἴτην καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν;

Ister liegt; s. unter ἐπί. 2) ἐπὶ πᾶσιν, auf, über alle Berge, mit Ergänzung eines sinnähnlichen Worts (zeugmatische Construktion) aus μετακινητέα, z. B. ἐπικυλινδητέος. 3) allzu fein, zu künstlich. 4) πικρᾶς ist Prädicat: 'daß wir die Homerische Bauweise als eine bittere erproben, daß sie uns bitter ausschlägt.' 5) an den Schädeln, Buttm. §. 132, 5, c. 6) denn das ist keine kleine Maschine, zu der du mich emporhebst; s. cap. 3, A. 13 und c. 4, A. 5. 7) als Vordersatz ist der Gedanke zu ergänzen: doch es hilft nichts, du mußt dich auf die gefährliche Maschine emporheben lassen, wenn ꝛc. 8) d. i. ἔνεστι. 9) 'beides zugleich zu sein.' 10) φείδου mit Infin. (gib Acht nicht zu treten) vertritt hier die Stelle eines negativen Imperativs, wie das latein. parcere, z. B. Horat. Od. III, 8, 26: parce privatus nimium cavere. 11) s. Anm. 24, c. 1.

6. 1) eine Art See, etwas, was wie ein See aussieht; eben so unten φωλεούς τινας. Unter der λίμνη versteht Charon das Meer, für das ihm kein anderer Ausdruck als λίμνη zur Hand ist, da er als Hadesbewohner bis jetzt nur die Ἀχερουσία λίμνη kannte. 2) über die Attraction des Genus für ἅς s. Buttm. §. 143, 4 und vgl. Zumpt §. 372. 3) πέπρακται 'daß wir nichts ausgerichtet haben;' über den Dativ s. Buttm. §. 134, 4. 4) αὐτῇ,

ΕΡΜ. Ὅτι τί[5];

ΧΑΡ. Οὐδὲν ἀκριβὲς ἐγὼ γοῦν ἀπὸ τοῦ ὑψηλοῦ ʽρῶ· ἐδεόμην[6] δ' οὐ πόλεις καὶ ὄρη αὐτὸ[7] μόνον ὥσπερ ἐν γραφαῖς ὁρᾶν, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοὺς καὶ ἃ πράττουσι καὶ οἷα λέγουσιν, ὥσπερ[8] ὅτε με τὸ πρῶτον ἐντυχὼν[9] εἶδες γελῶντα, καὶ ἤρου με ὅ,τι γελῴην· ἀκούσας γάρ τινος[10] ἥσθην ἐς ὑπερβολήν.

ΕΡΜ. Τί δαὶ τοῦτο ἦν;

ΧΑΡ. Ἐπὶ δεῖπνον, οἶμαι, κληθεὶς ὑπό τινος τῶν φίλων ἐς τὴν ὑστεραίαν, ʽμάλιστα ἥξω' ἔφη· καὶ μεταξὺ[11] λέγοντος ἀπὸ τοῦ τέγους κεραμὶς ἐμπεσοῦσα, οὐκ οἶδ' ὅτου[12] κινήσαντος, ἀπέκτεινεν αὐτόν. Ἐγέλασα οὖν, οὐκ ἐπιτελέσαντος[13] τὴν ὑπόσχεσιν. Ἔοικα[14] δὲ καὶ νῦν ὑποκαταβήσεσθαι, ὡς μᾶλλον βλέποιμι καὶ ἀκούοιμι.

7. *ΕΡΜ.* Ἔχ' ἀτρέμας· καὶ τοῦτο γὰρ ἐγὼ ἰάσομαί σοι, καὶ ὀξυδερκέστατον ἐν βραχεῖ ἀποφανῶ, παρ' Ὁμήρου τινὰ καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβών· κἀπειδὰν εἴπω τὰ ἔπη, μέμνησο[1] μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν.

ΧΑΡ. Λέγε μόνον.

ΕΡΜ. Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον[2], ἣ πρὶν ἐπῆεν[3],
ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα[4].

Τί ἐστιν[5]; ἤδη ὁρᾷς;

---

sammt der kastalischen Quelle; vgl. Buttm. §. 133, A. 14. 5) quia quid? weil was der Fall ist? d. i. warum doch? 6) ʽich verlangte aber, mein Wunsch war;' vgl. cap. 22. ἓν ἔτι ἐπόθουν εἰδέναι. 7) blos allein, nihil nisi. 8) wie zum Beispiel. 9) τὸ πρ. ἐντ. bei unserer ersten Begegnung (auf der Oberwelt). 10) τινός Mascul. ʽals ich einen Menschen hörte.' Dieser τίς ist Subject zu dem folgenden κληθεὶς ἔφη. 11) während er (der τὶς) noch redete; s. Buttm. §. 145, A. 5. 12) οὐκ οἶδ' ὅστις, entsprechend dem lat. nescio quis, ist wie dieses durch den Gebrauch zu einem Worte = τὶς geworden, so daß ὅστις im Singular durch alle Casus flectiert wird. 13) scil. αὐτοῦ. 14) ἔοικα hier in seltener Bedeutung für δοκῶ μοι: ich glaube auch jetzt (wie kurz vorher, wo er der Menschen Thun und Treiben in der Nähe beobachtete) weiter herunter steigen zu müssen. Der Infin. Fut. bezeichnet im Griech. häufig nach Verba, die ein Glauben, Dafürhalten ausdrücken, das, was der Lateiner passivisch durch die Form auf dus gibt, z. B. Xenoph. Cyrop. VIII, 7, 4. ἔδοξεν ἀναπαύσεσθαι, existimavit sibi requiescendum esse. Luc. Deor. Concil. c. 8. ταῦτα ἐάσειν μοι δοκῶ, haec mihi mittenda existimo.

7. 1) hier in der seltenen Bedeutung ʽgedenke, erwarte,' s. Buttm. §. 144, 6. 2) für εἷλον von αἱρέω; s. Buttm. §. 83, A. 6. 3) Buttm. unter εἰμί A. 4. 4) aus Hom. Iliad. V, 126 sq., wo Athene die Worte zum Diomedes spricht. 5) τί ἐστιν; wie steht's? Die Frage bezieht sich auf eine staunende Be-

σπεσίου βηλοῦ, ὡς ὑποσκάζων γέλωτα καὶ αὐτὸς παρέχοιμι[15] οἰνοχοῶν.

13. 1) Das Particip bildet die nähere Bestimmung von *τὸ πρᾶγμα*: 'es scheint ihm der Fall sonderbar, daß ein Armer rc.' 2) *τὸ παριστ.* 'was ihm nur beifällt.' 3) *ὅταν δέῃ* 'wann der Schicksalsspruch sich erfüllt, daß er [illegible] Für *δεῖ* steht in dieser Bedeutung sonst regelmäßig *χρή*, das lat. 4) Herod. I, 86. 5) s. Buttm. §. 80, 2. 6) Herod. I, 214. n auf *μυρία σφάλματα σφάλλεσθαι*, unzählige Unfälle er- nfälle des Kambyses in Aethiopien und Libyen erzählt Herodot erod. III, 27 f. und 64. Kambyses starb an einer Wunde, g sich gerade an derselben Stelle des Leibes beigebracht hatte, den geheiligten Stier Apis tödtlich getroffen hatte. 10) Buttm. 11) wer könnte sie jetzt anblicken, wie sie rc., d. h. Stande den Anblick ihres Hochmuths zu ertragen? 12) Genetiv

14. Ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος[1], ὁ τὸ διάδημα[2], ᾧ τὸν δακτύλιον[3] ὁ μάγειρος ἀναδίδωσι, τὸν ἰχθὺν ἀνατεμών,

νήσῳ ἐν ἀμφιρύτῃ[4], βασιλεὺς δέ τις εὔχεται εἶναι.

ΕΡΜ. Εὖ γε παρῳδεῖς ἤδη, ὦ Χάρων. Ἀλλὰ[5] Πολυκράτην ὁρᾷς, τὸν Σαμίων τύραννον, πανευδαίμονα ἡγούμενον εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ ἀνασκολοπισθήσεται[6], ἄθλιος ἐκπεσὼν[7] τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ[8] τοῦ χρόνου· καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα.

ΧΑΡ. Ἄγαμαι[9] Κλωθοῦς γεννικῆς· καῖ'[10] αὐτούς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες[11]· ἐν τοσούτῳ[12] δὲ ἐπαιρέσθων[13], ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι[14]. Ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν[15] ἐν τῷ σκαφιδίῳ, μήτε τὴν πορφυρίδα μήτε τιάραν ἢ κλίνην χρυσῆν[16] κομίζοντας[17].

---

des Stoffes oder Inhaltes, mit Blut; so Xenoph. Anab. VII, 2, 23. *κέρατα οἴνου*, Hörner mit Wein; Hom. Odyss. IX, 196. *ἀσκὸς μέλανος οἴνοιο*; so oben S. 108. *ἁρμάμαξαι γυναικῶν καὶ παίδων*, Wagen mit W. und K. So auch im Lat. z. B. Tibull. I, 3, 46. ubera lactis, Euter voll von Milch.

14. 1) Daß *ἐμπεπορπ.* Medium ist, zeigt Hom. Iliad. XI, 133. *ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο* (= *ἐπορπήσατο*) *φοινικόεσσαν*. 2) s. Anm 5, c. 9. 3) die Geschichte vom Ring des Polykrates erzählt Herod. III, 41, und ist aus Schillers Gedicht hinlänglich bekannt. 4) d. i. in Samos. Der Vers ist aus mehreren homerischen Redensarten zusammengeflickt, worauf sich die Antwort des Hermes bezieht. 5) *ἀλλά* lenkt wieder auf die Frage ein, deren Beantwortung durch den Satz *εὖ γε παρῳδεῖς* unterbrochen war. 6) Herod. III, 120. 7) *ἐκπίπτω*. 8) s. S. 115, 16. 9) ich bewundere die K., d. i. bravo, wackere Klotho! 10) d. i. *καῖε*. Charon bezieht sich auf das Schicksal des Krösus. 11) über das Particip s. unter *οἶδα*. 12) unterdessen. 13) Der Imperativ ist ein sogenannter permissivus: inzwischen mögen sie sich immerhin erheben; vgl. Aesch. Prom. v. 1042. *πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος* 'da mag immer des Blitzes zackiges Gekräusel auf mich geschleudert werden.' 14) über *ὡς ἄν* vgl. Anm. 8, c. 1. 15) Die Todten mußten nackt den Nachen des Charon besteigen, wie Lucian Dial. Mortt. 10. sehr launig beschreibt, wo Charon die ankommenden Todten nicht allein alles, was sie auf dem Körper trugen, sondern auch alle Leidenschaften und Eitelkeiten, die sie im Leben gehegt, ablegen heißt. Daher hieß es oben c. 8 vom Athleten Milon, daß er bald auch nicht mehr eine Mücke werde tragen können. 16) s. c. 9, wo es vom Krösus heißt: *ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον*. 17) der Plural *κομίζοντας*, auf *ἕκαστον* bezogen, steht, da dies ein collektiver Begriff ist;

15. *ΕΡΜ.* Καὶ τὰ μὲν τούτων ὧδε ἔξει· τὴν δὲ πληθὺν ὁρᾷς, ὦ Χάρων, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας;

ΧΑΡ. Ὁρῶ ποικίλην τινὰ τὴν τύρβην καὶ μεστὸν ταραχῆς τὸν βίον καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει καὶ τὸν πλησίον[1] κεντεῖ, ὀλίγοι δέ τινες ὥσπερ σφῆκες ἄγουσι καὶ φέρουσι[2] τὸ ὑποδεέστερον[3]. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τἀφανοῦς οὗτος ὄχλος, τίνες[4] εἰσίν;

ΕΡΜ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα καὶ ἄνοιαι καὶ ἡδοναὶ καὶ φιλαργυρίαι καὶ ὀργαὶ καὶ μίση καὶ τὰ τοιαῦτα. Τούτων δὲ ἡ ἄνοια μὲν κάτω[5] ξυναναμέμικται αὐτοῖς καὶ ξυμπολιτεύεταί γε[6] νὴ Δία καὶ τὸ μῖσος καὶ ἡ ὀργὴ καὶ ζηλοτυπία καὶ ἀμαθία καὶ ἀπορία καὶ φιλαργυρία, ὁ φόβος δὲ καὶ αἱ ἐλπίδες ὑπεράνω πετόμενοι[7], ὁ μὲν[8] ἐμπίπτων ἐκπλήττει ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ, αἱ δ' ἐλπίδες ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπ'ταν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀναπτάμεναι[9] οἴχονται[9], κεχηνότας αὐτοὺς[10] ἀπολιποῦσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος.

16. Ἢν δ' ἀτενίσῃς, κατόψει καὶ τὰς Μοίρας ἄνω ἐπικλωθούσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι συμβέβηκεν ἅπαντας ἐκ[1] λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων;

ΧΑΡ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα, ἐπιπεπλεγμένον γε τὰ πολλὰ, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ[2].

---

so heißt es einige Zeilen später *αὐτῶν* auf *πληθύν* bezogen; und gegen das Ende von c. 15 *κεχηνότας αὐτούς*, da das vorhergehende *τὶς* zwar beispielweise von einem gesagt, aber der Sache nach von einer Mehrheit von Individuen zu verstehen ist. Uebrigens ist aus *κομίζειν* (mitbringen) zu *πορφυρίδα* und *τιάραν* das speciellere Verbum *φορεῖν* (gestare) zu ergänzen.

15. 1) c. 1, Anm. 2. 2) s. das Wörterverz. unter *ἄγειν*. 3) = *τοὺς ὑποδεεστέρους*, das geringere Volk, alles was ihnen an Schwäche unterlegen ist. 4) s. S. 143, Anm. 16. 5) auf der Erde, in der Tiefe, im Gegensatz zu den *ὑπεράνω πετομένοις*. 6) *καὶ — γε*, 'und sogar.' 7) Bei Eintheilungen kann der Grieche das Ganze sowohl in den Genetiv setzen, als in denselben Casus, in dem der Theilbegriff steht; s. Buttm. §. 132, Anm. 4. 8) sc. *ὁ φόβος*. 9) 'flugs sind sie davon, in einem Nu in die Höhe entschwunden.' 10) s. zu c. 14, A. 16.

16. 1) *ἐκ* vermittelst. 2) Der Sinn dieser schwierigen Stelle ist: 'Ich

ΕΡΜ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται[3] γὰρ ἐκεῖνον μὲν ὑπὸ τούτου φονευθῆναι, τοῦτον δὲ ὑπ' ἄλλου, καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκείνου[4], ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα, ἐκεῖνον δὲ αὖ τούτου· τοι'νδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ' οὖν ἀπὸ λεπτοῦ[5] κρεμαμένους ἅπαντας· καὶ οὗτος μὲν ἀνασπασθεὶς[6] ἄνω μετέωρός ἐστι, καὶ μετὰ μικρὸν καταπεσών, ἀπορραγέντος τοῦ λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ[7] πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον[8] ἐργάσεται· οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ[9] κείσεται, μόλις καὶ[10] τοῖς γείτοσιν[11] ἐξακουσθέντος τοῦ πτώματος.

ΧΑΡ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

17. *ΕΡΜ.* Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν[1] κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων, καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν, καὶ[2] τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου[3] Θανάτου. Ἄγγελοι δὲ καὶ ὑπηρέται αὐτοῦ μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι καὶ

---

sehe, daß jeder Mensch einen feinen Faden an sich hat, und zwar einen, der größtentheils (*τὰ πολλά*) verschlungen ist, der eine Faden mit dem Faden von jenem, der andere mit dem eines andern.' *Ἐκείνῳ* und *ἄλλῳ* sind also Masculina und stehen für *τῷ ἐκείνου* scil. *νήματι* und *τῷ ἄλλου*. Vgl. Luc. dial. mortt. XII. 5. *ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε*, wo *με* ähnlich steht für *τὰς πράξεις μου*. So auch im Lat. z. B. Cic. de Orat. I. §. 107. si cum Lycurgo — nostras leges conferre volueritis. 3) *μείρομαι*. 4) über den Gen. s. das Wörterverz. unter *κληρονομεῖν*. 5) *ἀπὸ λεπτοῦ*, wie wir sagen: an einem Härchen. Das Neutrum vertritt hier die Stelle eines Substantivs, wie oben cap. 3. *ἀφ' ὑψηλοτέρου*. Andere jedoch ergänzen zu *λεπτοῦ* aus dem Vorhergehenden *νήματος*. 6) Da der Schriftsteller einmal das Bild vom Faden gebraucht, so wendet er es auch, wenn auch nicht sehr consequent, von der Größe im menschlichen Leben an, und läßt den einen Menschen durch den Faden zu einer schwindelnden Höhe gezogen werden, den andern sich wenig über die Erde erheben. 7) sc. *τὸ λίνον*. 8) *μέγαν τὸν ψόφον*, wörtlich: 'das Geräusch, das er machen wird, wird er groß machen.' 9) sc. *πεσών*. 10) *καί*, auch nur. 11) Buttm. §. 134, 4. Der Gedanke *οὐκ ἀκούεταί τι τοῖς γείτοσι* wird sprüchwörtlich von Dingen gebraucht, die spurlos, ohne Aufsehen zu erregen, vorübergehen.

17. 1) Eine Formel, die als eine Umschreibung eines Superlativbegriffes (gewiß ist es unbeschreiblich lächerlich) anzusehen ist. 2) Beiordnende Verbindung, während das copulative Glied dem vorhergehenden logisch untergeordnet ist: 'während sie doch in Mitte ihrer Hoffnungen plötzlich entrafft werden.' 3) *βέλτιστος* wird sowohl gebraucht bei aufrichtigem als bei ironischem Lobe. Im Munde des Hermes ist das Lob offenbar ein aufrichtiges, da er dem Thanatos nicht anders als Recht geben muß, daß er den lächerlichen Bestrebungen der Menschen so mit einem Male ein Ende macht.

πυρετοὶ καὶ φθόαι καὶ περιπνευμονίαι καὶ ξίφη καὶ ληστήρια καὶ κώνεια καὶ δικασταὶ καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται[4], ἔστ' ἂν εὖ πράττωσιν· ὅταν δὲ σφαλῶσι, πολὺ[5] τὸ ὀττοτοῖ καὶ αἰαῖ καὶ οἴμοι. Εἰ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τ' εἰσὶν αὐτοί, καὶ ὀλίγον τοῦτον τὸν χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπίασιν ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον καὶ ἧττον ἠνιῶντο ἀποθανόντες· νῦν δὲ[6] ἐς ἀεὶ[7] ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης[8] καλῇ καὶ ἀπάγῃ πεδήσας τῷ πυρετῷ ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγήν, οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. Ἢ τί γὰρ οὐκ ἂν ποιήσειεν[9] ἐκεῖνος, ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι, ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ, ὁ δὲ[10] ἄρτι ἐπιθεὶς τὸν ὄροφον ἄπεισι, τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνήσας ὁ ἄθλιος ἐν αὐτῇ; Ἐκεῖνος μὲν[11] γὰρ ὁ χαίρων, ὅτι ἄρρενα παῖδα τέτοκεν[12] αὐτῷ ἡ γυνή, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν[13] καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο, ὡς ἑπτέτης γενόμενος ὁ παῖς τεθνήξεται, ἆρ' ἄν σοι δοκεῖ χαίρειν[14] ἐπ' αὐτῷ γεννωμένῳ; Ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ[15], τὸν τοῦ

Gerade so ist ὦ βελτίστη (cap. 14) zu fassen. 4) kommt in den Sinn. 5) πολὺ τὸ ὀττ. wie wir sagen: 'dann ist des Gezeters und des Oh und Weh kein Ende;' πολύς ist Prädicat. 6) νῦν δέ, nun aber, so aber, wie das lat. nunc vero. 7) ἐς ἀεί gehört zu χρήσεσθαι. 8) sc. τοῦ Θανάτου. 9) ἢ τί — ποιήσειεν ἐκ. Der Sinn dieser schwierigen Worte ist: 'Oder was doch würde jener nicht alles thun, wenn er plötzlich erführe, daß er mit der Vollendung des Hauses aus dem Leben scheiden werde?' d. h. oder würde sich jener nicht entsetzlich geberden und mit aller Macht sträuben, [illegible] ihm einer sagte ꝛc. Ganz ähnlich heißt es Luc. Dial. Mer. IX, 3. [illegible] οὐκ ἂν ἐκεῖνος ποιήσειεν; d. h. wie würde sich jener erst [illegible] den? 10) ὁ δέ, er jedoch, er selbst aber. 11) ἐκεῖνος [illegible] enn jener gewiß. 12) τίκτω. 13) Am zehnten, öfters auch [illegible] benten Tage nach der Geburt eines Kindes wurde ein Opfer ge[illegible] elcher Gelegenheit das Kind seinen Namen erhielt und den Ver[illegible] Freunden ein Festmahl gegeben wurde. Als Name wurde in [illegible] der des Großvaters genommen, weil bei den Griechen gewöhnlich [illegible] Vater den Namen bestimmte; wie es auch hier zu verstehen ist, wo [illegible] den Namen seines Vaters (τοῦ πατρός) dem Kinde beilegt. [illegible] gehört zum Infinitiv χαίρειν, der durch ἆρ' ἂν ἔχαιρεν aufzulösen [illegible] enn er wüßte, daß ꝛc., glaubst du, daß er sich dann wohl über dessen [illegible] freuen würde?' 15) ὅτι ἐκεῖνον ὁρᾷ 'daß er nur auf jenen sieht,

ἀθλητοῦ πατέρα τοῦ Ὀλύμπια[16] νενικηκότος, τὸν γείτονα δὲ, τὸν ἐκκομίζοντα τὸ παιδίον, οὐχ ὁρᾷ οὐδὲ οἶδεν ἀφ' οἵας αὐτῷ[17] κρόκης ἐκρέματο. Τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς, ὅσοι εἰσί, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπολαῦσαι αὐτῶν, καλουμένους ὑφ' ὧν[18] εἶπον τῶν ἀγγέλων τε καὶ τῶν ὑπηρετῶν.

18. *ΧΑΡ.* Ὁρῶ ταῦτα πάντα καὶ πρὸς ἐμαυτὸν ἐννοῶ, ὅ,τι[1] τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερόμενοι ἀγανακτοῦσιν. Ἤν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω[2] τοῦ ἀβεβαίου[3] καί, ὡς φῄς[4], ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προσόντα αὐτοῖς, φόβους καὶ ταραχὰς καὶ μίση καὶ ἐπιβουλὰς καὶ ὀργὰς καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξύνεισιν· ἐῶ πένθη καὶ νόσους καὶ πάθη, ἐξ ἰσοτιμίας[5] δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου[6] δὲ τὰ τούτων[7] πονηρά, λογίζεσθαι καιρός, οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

19. Ἐθέλω δ' οὖν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταράττοντι ἀνισταμένας; τὰς φυσαλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός. Ἐκείνων τοίνυν τινὲς μὲν μικραί εἰσι καὶ αὐτίκα[1] ἐκραγεῖσαι ἀπέσβησαν[2], αἱ δ' ἐπὶ πλέον διαρκοῦσι, καὶ προσχωρουσῶν

---

nur jenen im Auge hat.' 16) s. S. 99, 4. 17) sc. *τῷ γείτονι* 'und er bedenkt nicht, an einem wie schwachen Lebensfaden ihm (d. h. dem Nachbar) sein Kind hieng.' 18) *ὑφ' ὧν*, Attraction für: *ὑπὸ τῶν ἀγγέλων οὓς εἶπον*. Steht in solchen Fällen das Substantiv mit Artikel im Relativsatze, so erscheint es eigentlich als nähere Bestimmung des vorausgehenden Relativs: 'gerufen von denen, die ich nannte, neml. von den Boten und Dienern des Todes.'

18. 1) *ὅ,τι* statt *τί* wegen der indirecten Frage. 2) abgesehen von; mit *ἔξω* beginnt der Nachsatz. 3) *τὸ ἀβ. τῆς τύχης*, die Unbeständigkeit des Glücks, s. S. 115, 16. 4) *ὡς φῄς* bezieht sich auf die Schilderungen, die Hermes c. 13. von dem raschen Glückswechsel im Leben der Könige gemacht hatte. 5) in gleichem Maße, wie über andere Sterbliche. 6) *ὅπου — πονηρά* 'während, da nun aber schon die Lage dieser schlecht ist.' 7) *τούτων*, sc. *τῶν βασιλέων*.

19. 1) *αὐτίκα — ἐκραγεῖσαι* (*ἐκρήγνυμι*): *αὐτίκα* mit Partic. entspricht dem lat. simulac. 2) Der Aorist wird im Griech. häufig angewendet, wo der Deutsche das Präsens gebraucht, besonders in Vergleichungen und allgemeinen Sentenzen, weil dergleichen Fälle aus der allgemeinen Erfahrung entnommen sind, und daher sich schon wirklich einmal ereignet haben; vgl. Buttm. §. 137, A. 5. Doch auch in diesen Fällen findet ein Wechsel zwischen

α'ταῖς τῶν ἄλλων αὗται ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται. εἶτα μέντοι κἀκεῖναι πάντως ἐξερράγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι. Τοῦτό ἐστιν ὁ ἀνθρώπου βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι οἱ μὲν μείζους, οἱ δ' ἐλάττους[3]· *καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ συστῆναι ἐπαύσαντο· πᾶσι δ' οὖν ἀπορραγῆναι ἀναγκαῖον.*

ΕΡΜ. Ο'δὲν χεῖρον σὺ τοῦ Ὁμήρου[4] *εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.*

20. *ΧΑΡ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι, καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους, ἀρχῶν πέρι*[1] *καὶ τιμῶν καὶ κτήσεων ἁμιλλώμενοι, ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς δεήσει, ἕνα ὀβολὸν*[2] *ἔχοντας, ἥκειν παρ' ἡμᾶς. Βούλει οὖν, ἐπείπερ ἐφ' ὑψηλοῦ ἐσμεν, ἀναβοήσας παμμέγεθες*[3] *παραινέσω*[4] *αὐτοῖς ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων· 'Ὦ μάταιοι, τί ἐσπουδάκατε*[5] *περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, οὐδ' ἂν ἀπαγάγοι τις αὐτῶν τι σὺν αὐτῷ ἀποθανών, ἀλλ' ἀνάγκη αὐτὸν μεν γυμνὸν*[6] *οἴχεσθαι, τὴν οἰκίαν δὲ καὶ τὸν ἀγρὸν καὶ τὸ χρυσίον ἀεὶ ἄλλων*[7] *εἶναι καὶ μεταβάλλειν τοὺς δεσπότας.' Εἰ ταῦτα καὶ τὰ τοιαῦτα ἐξ ἐπηκόου ἐμβοήσαιμι αὐτοῖς, οὐκ*

Aorist und Präsens in den Hauptsätzen statt, wie in diesem Gleichnisse dreimal der Aorist und sonst Präsens steht; jener, um das schnelle, plötzliche Eintreten oder den raschen Verlauf einer Handlung hervorzuheben (was man in der deutschen Uebersetzung nicht vernachlässigen möge), dieses, um die Dauer, die langsame Entwicklung, das allmählige Fortschreiten einer Handlung zu bezeichnen, z. B. Demosth. Olynth. I. §. 11. *ἐὰν μὲν, ὅσ' ἂν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τὴν χάριν.* 'Wenn, was einer erhalten hat, er auch bewahrt, so zollt er dem Glücke großen Dank; doch geht es unvermerkt verloren, so ist in einem Nu auch der Dank dahin.' Vgl. Dem. Olynth. II, §. 9 f. §. 21. Hom. Iliad. II, 455—483. XVII, 60—67. 3) *μείζους* und *ἐλάττους* sind Prädicate, wo der Deutsche Adverbia gebraucht: die einen mehr, die andern weniger. Ebenso hieß es oben c. 3. *τὸ κῦμα ὑψηλὸν αἴρεται*, die Welle hebt sich hoch empor. 4) Iliad. VI, 146 ff. *οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.*

20. 1) *πέρι* s. Anm. 11, c. 4. 2) Den Todten steckte man einen Obolos als Fahrgeld für den Charon in den Mund; s. oben c. 11. 3) *παμμέγεθες ἀναβοᾶν*, laut, kräftig schreien; so unten *ὀξὺ δέρκεσθαι*, scharf sehen. 4) *παραινέσω*, Conj. Aor. s. A. 8, c. 9. 5) Perfect mit verstärkter Präsensbedeutung: was bemüht ihr euch so eifrig um dieses? In derselben Bedeutung ist unten c. 22. *πεπιστεύκασι* gebraucht. 6) s. Anm. 14 zu c. 14.

ἂν[8] οἴει μεγάλα ὠφεληθῆναι τὸν βίον καὶ σωφρονεστέρους ἂν γενέσθαι παρὰ πολύ;

21. ΕΡΜ. Ὦ μακάριε, οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα· τοσούτῳ κηρῷ ἔβυσαν[1] αὐτά, οἷόνπερ ὁ Ὀδυσσεὺς[2] τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως. Πόθεν οὖν ἂν ἐκεῖνοι ἀκοῦσαι δυνηθεῖεν, ἢν καὶ σὺ κεκραγὼς διαρραγῇς; ὅπερ γὰρ παρ' ὑμῖν ἡ Λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίνοντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα καὶ κατεγνωκότες οἷά ἐστιν.

ΧΑΡ. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσωμεν;

ΕΡΜ. Περιττὸν καὶ τοῦτο, λέγειν[3] πρὸς αὐτοὺς ἃ ἴσασιν. Ὁρᾷς, ὅπως ἀποστάντες[4] τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς[5], ἀλλὰ δῆλοί[6] εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς[7] ἀπὸ τοῦ βίου; καὶ γὰρ καὶ[8] μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας.

ΧΑΡ. Εὖγε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσίν, ὦ Ἑρμῆ.

ΕΡΜ. Ἱκανοὶ καὶ οὗτοι· ἀλλὰ κατίωμεν ἤδη.

22. ΧΑΡ. Ἓν ἔτι ἐπόθουν[1], ὦ Ἑρμῆ, εἰδέναι (καί μοι δείξας αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιημένος[2]), τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι[3], θεάσασθαι[4].

ΕΡΜ. Ἠρία, ὦ Χάρων, καὶ τύμβους καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα[5] τὰ χώματα ὁρᾷς καὶ τὰς στήλας καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα καὶ σωματοφυλάκιά εἰσι.

---

7) *ἄλλων* Gen. des Besitzes; s. Buttm. §. 132, 7. 8) *ἂν* gehört zu *ὠφεληθῆναι* (= *ὠφεληθείη ἂν ὁ βίος*).

21. 1) d. i. so dicht ist das Wachs, mit dem sie ihre Ohren verstopft (*βυνέω*) haben. Ueber die Form der Rede s. A. 8 zu cap. 4. 2) Hom. Odyss. XII, 173—177. 3) *λέγειν*, nähere Bestimmung von *τοῦτο*: 'überflüssig ist auch dies, neml. ihnen zu sagen 2c.' 4) getrennt, abgesondert von der Menge. 5) sc. *τοῖς γιγνομένοις*. 6) Buttm. §. 151. I, 7. 7) d. i. in die Unterwelt. 8) *καὶ γάρ*, denn auch; das zweite *καί* ist steigernd und gehört zu *μισοῦνται*: sie werden sogar gehaßt.

22. 1) s. zu c. 6, Anm. 6. 2) s. zu c. 12, Anm. 10. 3) scil. *τὰ σώματα*. *Ἵνα* ist hier Localadverb: ubi. 4) *θεάσασθαι* steht zu *εἰδέναι* als nähere Bestimmung. 'Eines noch wünschte ich kennen zu lernen, neml. die

ΚΡΟΙΣ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς.

13. ΕΡΜ. Οὐ φέρει ὁ Λυδός, ὦ Χάρων, τὴν παρρησίαν καὶ τὴν ἀλήθειαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄνθρωπος οὐχ ὑποπτήσσων[1], τὸ δὲ παριστάμενον[2] ἐλευθέρως λέγων. Μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν αὐτὸν δέῃ[3] ἁλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου[4] ἀναχθῆναι· ἤκουσα γὰρ τῆς Κλωθοῦς πρῴην ἀναγιγνωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα, ἐν οἷς καὶ ταῦτα ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκεινησὶ[5] τῆς Μασσαγέτιδος ἀποθανεῖν. Ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ λευκοῦ ἐξελαύνουσαν;

ΧΑΡ. Νὴ Δία.

ΕΡΜ. Τόμυρις[6] ἐκείνη ἐστί· καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. Ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ, τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν· οὗτος βασιλεύσει μετὰ τὸν πατέρα, καὶ μυρία[7] σφαλεὶς ἔν τε τῇ Λιβύῃ καὶ Αἰθιοπίᾳ[8] τὸ τελευταῖον μανεὶς ἀποθανεῖται, ἀποκτείνας τὸν Ἆπιν[9].

ΧΑΡ. Ὢ πολλοῦ γέλωτος[10]· ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν[11], οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν, ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος[12];

---

muthet, daß Nero verstanden sei, der fünfhundert Bildseulen aus dem delphischen Tempel raubte. Bei **ληστής** dachte Lucian vielleicht an die räuberischen Einfälle gallischer Horden 278 v. Chr. Oeftere Plünderungen der delphischen Tempelschätze berichtet Paus. X, 7. 1 sqq. 14) Hier ist ein Fehler im Texte, da nicht ein Wort, das einen persönlichen Begriff ('Goldmacher'), sondern ein solches, das einen sächlichen bezeichnet, erwartet wird. Wir vermuthen, daß Lucian entweder **χρυσοπλίνθων**, Goldziegel, oder **χρυσοποιήτων**, 'Arbeiten aus Gold', geschrieben hat.

13. 1) Das Particip bildet die nähere Bestimmung von **τὸ πρᾶγμα:** 'es scheint ihm der Fall sonderbar, daß ein Armer 2c.' 2) **τὸ παριστ.** 'was ihm nur beifällt.' 3) **ὅταν δέῃ** 'wann der Schicksalsspruch sich erfüllt, daß er 2c.' Für **δεῖ** steht in dieser Bedeutung sonst regelmäßig **χρή**, das lat. necesse est. 4) Herod. I, 86. 5) s. Buttm. §. 80, 2. 6) Herod. I, 214. 7) zurückzuführen auf **μυρία σφάλματα σφάλλεσθαι**, unzählige Unfälle erleiden. 8) die Unfälle des Kambyses in Aethiopien und Libyen erzählt Herodot III, 25 ff. 9) Herod. III, 27 f. und 64. Kambyses starb an einer Wunde, die er unvorsichtig sich gerade an derselben Stelle des Leibes beigebracht hatte, an der er früher den geheiligten Stier Apis tödtlich getroffen hatte. 10) Buttm. §. 132, A. 31. 11) wer könnte sie jetzt anblicken, wie sie 2c., d. h. wer wäre im Stande den Anblick ihres Hochmuths zu ertragen? 12) Genetiv

14. Ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος[1], ὁ τὸ διάδημα[2], ᾧ τὸν δακτύλιον[3] ὁ μάγειρος ἀναδίδωσι, τὸν ἰχθὺν ἀνατεμών,
νήσῳ ἐν ἀμφιρύτῃ[4], βασιλεὺς δέ τις εὔχεται εἶναι.

ΕΡΜ. Εὖ γε παρῳδεῖς ἤδη, ὦ Χάρων. Ἀλλὰ[5] Πολυκράτην ὁρᾷς, τὸν Σαμίων τύραννον, πανευδαίμονα ἡγούμενον εἶναι· ἀτὰρ καὶ οὗτος αὐτὸς ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ ἀνασκολοπισθήσεται[6], ἄθλιος ἐκπεσὼν[7] τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ[8] τοῦ χρόνου· καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα.

ΧΑΡ. Ἄγαμαι[9] Κλωθοῦς γεννικῆς· καῖ'[10] αὐτούς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες[11]· ἐν τοσούτῳ[12] δὲ ἐπαιρέσθων[13], ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι[14]. Ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν[15] ἐν τῷ σκαφιδίῳ, μήτε τὴν πορφυρίδα μήτε τιάραν ἢ κλίνην χρυσῆν[16] κομίζοντας[17].

---

des Stoffes oder Inhaltes, mit Blut; so Xenoph. Anab. VII, 2, 23. κέρατα οἴνου, Hörner mit Wein; Hom. Odyss. IX, 196. ἀσκὸς μέλανος οἴνοιο; so oben S. 108. ἁρμάμαξαι γυναικῶν καὶ παίδων, Wagen mit W. und K. So auch im Lat. z. B. Tibull. I, 3, 46. ubera lactis, Euter voll von Milch.

14. 1) Daß ἐμπεπορπ. Medium ist, zeigt Hom. Iliad. XI, 133. ἀμφὶ δ' ἄρα χλαῖναν περονήσατο (= ἐπορπήσατο) φοινικόεσσαν. 2) s. Anm. 5, c. 9. 3) die Geschichte vom Ring des Polykrates erzählt Herod. III, 41, und ist aus Schillers Gedicht hinlänglich bekannt. 4) d. i. in Samos. Der Vers ist aus mehreren homerischen Redensarten zusammengeflickt, worauf sich die Antwort des Hermes bezieht. 5) ἀλλά lenkt wieder auf die Frage ein, deren Beantwortung durch den Satz εὖ γε παρῳδεῖς unterbrochen war. 6) Herod. III, 120. 7) ἐκπίπτω. 8) s. S. 115, 16. 9) ich bewundere die K., d. i. bravo, wackere Klotho! 10) d. i. καῖε. Charon bezieht sich auf das Schicksal des Krösus. 11) über das Particip s. unter οἶδα. 12) unterdessen. 13) Der Imperativ ist ein sogenannter permissivus: inzwischen mögen sie sich immerhin erheben; vgl. Aesch. Prom. v. 1042. πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος 'da mag immer des Blitzes zackiges Gekräusel auf mich geschleudert werden.' 14) über ὡς ἂν vgl. Anm. 8, c. 1. 15) Die Todten mußten nackt den Nachen des Charon besteigen, wie Lucian Dial. Mortt. 10. sehr launig beschreibt, wo Charon die ankommenden Todten nicht allein alles, was sie auf dem Körper trugen, sondern auch alle Leidenschaften und Eitelkeiten, die sie im Leben gehegt, ablegen heißt. Daher hieß es oben c. 8 vom Athleten Milon, daß er bald auch nicht mehr eine Mücke werde tragen können. 16) s. c. 9, wo es vom Krösus heißt: ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον. 17) der Plural κομίζοντας, auf ἕκαστον bezogen, steht, da dies ein collektiver Begriff ist;

15. *ΕΡΜ.* Καὶ τὰ μὲν τούτων ὧδε ἔξει· τὴν δὲ πληθὺν ὁρᾷς, ὦ Χάρων, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας;

ΧΑΡ. Ὁρῶ ποικίλην τινὰ τὴν τύρβην καὶ μεστὸν ταραχῆς τὸν βίον καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει καὶ τὸν πλησίον[1] κεντεῖ, ὀλίγοι δέ τινες ὥσπερ σφῆκες ἄγουσι καὶ φέρουσι[2] τὸ ὑποδεέστερον[3]. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ ταφανοῦς οὗτος ὄχλος, τίνες[4] εἰσίν;

ΕΡΜ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα καὶ ἄνοιαι καὶ ἡδοναὶ καὶ φιλαργυρίαι καὶ ὀργαὶ καὶ μίση καὶ τὰ τοιαῦτα. Τούτων δὲ ἡ ἄνοια μὲν κάτω[5] ξυναναμέμικται αὐτοῖς καὶ ξυμπολιτεύεταί γε[6] νὴ Δία καὶ τὸ μῖσος καὶ ἡ ὀργὴ καὶ ζηλοτυπία καὶ ἀμαθία καὶ ἀπορία καὶ φιλαργυρία, ὁ φόβος δὲ καὶ αἱ ἐλπίδες ὑπεράνω πετόμενοι[7], ὁ μὲν[8] ἐμπίπτων ἐκπλήττει ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ, αἱ δ' ἐλπίδες ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπόταν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀναπτάμεναι[9] οἴχονται[9], κεχηνότας αὐτοὺς[10] ἀπολιποῦσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος.

16. Ἢν δ' ἀτενίσῃς, κατόψει καὶ τὰς Μοίρας ἄνω ἐπικλωθούσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι συμβέβηκεν ἅπαντας ἐκ[1] λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων;

ΧΑΡ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα, ἐπιπεπλεγμένον γε τὰ πολλά, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ[2].

---

so heißt es einige Zeilen später *αὐτῶν* auf *πληθύν* bezogen; und gegen das Ende von c. 15 *κεχηνότας αὐτούς*, da das vorhergehende *τὶς* zwar beispielsweise von einem gesagt, aber der Sache nach von einer Mehrheit von Individuen zu verstehen ist. Uebrigens ist aus *κομίζειν* (mitbringen) zu *πορφυρίδα* und *τιάραν* das speciellere Verbum *φορεῖν* (gestare) zu ergänzen.

15. 1) c. 1, Anm. 2. 2) s. das Wörterverz. unter *ἄγειν*. 3) = *τοὺς ὑποδεεστέρους*, das geringere Volk, alles was ihnen an Schwäche unterlegen ist. 4) s. S. 143, Anm. 16. 5) auf der Erde, in der Tiefe, im Gegensatz zu den *ὑπεράνω πετομένοις*. 6) *καὶ — γε*, 'und sogar.' 7) Bei Eintheilungen kann der Grieche das Ganze sowohl in den Genetiv setzen, als in denselben Casus, in dem der Theilbegriff steht; s. Buttm. §. 132, Anm. 4. 8) sc. *ὁ φόβος*. 9) 'flugs sind sie davon, in einem Nu in die Höhe entschwunden.' 10) s. zu c. 14, A. 16.

16. 1) *ἐκ* vermittelst. 2) Der Sinn dieser schwierigen Stelle ist: 'Ich

ΕΡΜ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται[3] γὰρ ἐκεῖνον μὲν ὑπὸ τούτου φονευθῆναι, τοῦτον δὲ ὑπ' ἄλλου, καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκείνου[4], ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα, ἐκεῖνον δὲ αὖ τούτου· τοιῶνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ' οὖν ἀπὸ λεπτοῦ[5] κρεμαμένους ἅπαντας· καὶ οὗτος μὲν ἀνασπασθεὶς[6] ἄνω μετέωρός ἐστι, καὶ μετὰ μικρὸν καταπεσὼν, ἀπορραγέντος τοῦ λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ[7] πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον[8] ἐργάσεται· οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ[9] κείσεται, μόλις καὶ[10] τοῖς γείτοσιν[11] ἐξακουσθέντος τοῦ πτώματος.

ΧΑΡ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

17. *ΕΡΜ.* Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν[1] κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων, καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν, καὶ[2] τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου[3] Θανάτου. Ἄγγελοι δὲ καὶ ὑπηρέται αὐτοῦ μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι καὶ

---

sehe, daß jeder Mensch einen feinen Faden an sich hat, und zwar einen, der größtentheils (τὰ πολλά) verschlungen ist, der eine Faden mit dem Faden von jenem, der andere mit dem eines andern.' Ἐκείνῳ und ἄλλῳ sind also Masculina und stehen für τῷ ἐκείνου scil. νήματι und τῷ ἄλλου. Vgl. Luc. dial. mortt. XII. 5. ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε, wo με ähnlich steht für τὰς πράξεις μου. So auch im Lat. z. B. Cic. de Orat. I. §. 107. si cum Lycurgo — nostras leges conferre volueritis. 3) μείρομαι. 4) über den Gen. s. das Wörterverz. unter κληρονομεῖν. 5) ἀπὸ λεπτοῦ, wie wir sagen: an einem Härchen. Das Neutrum vertritt hier die Stelle eines Substantivs, wie oben cap. 3. ἀφ' ὑψηλοτέρου. Andere jedoch ergänzen zu λεπτοῦ aus dem Vorhergehenden νήματος. 6) Da der Schriftsteller einmal das Bild vom Faden gebraucht, so wendet er es auch, wenn auch nicht sehr consequent, von der Größe im menschlichen Leben an, und läßt den einen Menschen durch den Faden zu einer schwindelnden Höhe gezogen werden, den andern sich wenig über die Erde erheben. 7) sc. τὸ λίνον. 8) μέγαν τὸν ψόφον, wörtlich: 'das Geräusch, das er machen wird, wird er groß machen.' 9) sc. πεσών. 10) καί, auch nur. 11) Buttm. §. 134, 4. Der Gedanke οὐκ ἀκούεταί τι τοῖς γείτοσι wird sprüchwörtlich von Dingen gebraucht, die spurlos, ohne Aufsehen zu erregen, vorübergehen.

17. 1) Eine Formel, die als eine Umschreibung eines Superlativbegriffes (gewiß ist es unbeschreiblich lächerlich) anzusehen ist. 2) Beiordnende Verbindung, während das copulative Glied dem vorhergehenden logisch untergeordnet ist: 'während sie doch in Mitte ihrer Hoffnungen plötzlich entrafft werden.' 3) βέλτιστος wird sowohl gebraucht bei aufrichtigem als bei ironischem Lobe. Im Munde des Hermes ist das Lob offenbar ein aufrichtiges, da er dem Thanatos nicht anders als Recht geben muß, daß er den lächerlichen Bestrebungen der Menschen so mit einem Male ein Ende macht.

πυρετοὶ καὶ φθόαι καὶ περιπνευμονίαι καὶ ξίφη καὶ ληστήρια καὶ κώνεια καὶ δικασταὶ καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται[4], ἔστ' ἂν εὖ πράττωσιν· ὅταν δὲ σφαλῶσι, πολὺ[5] τὸ ὀττοτοῖ καὶ αἰαῖ καὶ οἴμοι. **Εἰ** δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τ' εἰσὶν αὐτοί, καὶ ὀλίγον τοῦτον τὸν χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπίασιν ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον καὶ ἧττον ἠνιῶντο ἀποθανόντες· νῦν δὲ[6] ἐς ἀεὶ[7] ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης[8] καλῇ καὶ ἀπάγῃ πεδήσας τῷ πυρετῷ ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγήν, οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. **Ἢ** τί γὰρ οὐκ ἂν ποιήσειεν[9] ἐκεῖνος, ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι, ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ, ὁ δὲ[10] ἄρτι ἐπιθεὶς τὸν ὄροφον ἄπεισι, τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνήσας ὁ ἄθλιος ἐν αὐτῇ; **Ἐκεῖνος** μὲν[11] γὰρ ὁ χαίρων, ὅτι ἄρρενα παῖδα τέτοκεν[12] αὐτῷ ἡ γυνή, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν[13] καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο, ὡς ἑπτέτης γενόμενος ὁ παῖς τεθνήξεται, ἆρ' ἂν σοι δοκεῖ χαίρειν[14] ἐπ' αὐτῷ γεννωμένῳ; **Ἀλλὰ** τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ[15], τὸν τοῦ

Gerade so ist *ὦ βελτίστη* (cap. 14) zu fassen. 4) kommt in den Sinn. 5) *πολὺ τὸ ὀττ.* wie wir sagen: 'dann ist des Gezeters und des Oh und Weh kein Ende;' *πολύς* ist Prädicat. 6) *νῦν δέ*, nun aber, so aber, wie das lat. nunc vero. 7) *ἐς ἀεί* gehört zu *χρήσεσθαι*. 8) sc. *τοῦ Θανάτου*. 9) *ἢ τί — ποιήσειεν ἐκ.* Der Sinn dieser schwierigen Worte ist: 'Oder was doch würde jener nicht alles thun, wenn er plötzlich erführe, daß er mit der Vollendung des Hauses aus dem Leben scheiden werde?' d. h. oder würde sich jener nicht entsetzlich geberden und mit aller Macht sträuben, wenn ihm einer sagte rc. Ganz ähnlich heißt es Luc. Dial. Mer. IX, 3. *νῦν δὲ τί οὐκ ἂν ἐκεῖνος ποιήσειεν*; d. h. wie würde sich jener erst jetzt geberden? 10) *ὁ δέ*, er jedoch, er selbst aber. 11) *ἐκεῖνος μὲν γάρ*, denn jener gewiß. 12) *τίκτω*. 13) Am zehnten, öfters auch schon am siebenten Tage nach der Geburt eines Kindes wurde ein Opfer gebracht, bei welcher Gelegenheit das Kind seinen Namen erhielt und den Verwandten und Freunden ein Festmahl gegeben wurde. Als Name wurde in der Regel der des Großvaters genommen, weil bei den Griechen gewöhnlich der Großvater den Namen bestimmte; wie es auch hier zu verstehen ist, wo der *χαίρων* den Namen seines Vaters (*τοῦ πατρός*) dem Kinde beilegt. 14) *ἂν* gehört zum Infinitiv *χαίρειν*, der durch *ἆρ' ἂν ἔχαιρεν* aufzulösen ist: 'wenn er wüßte, daß rc., glaubst du, daß er sich dann wohl über dessen Geburt freuen würde?' 15) *ὅτι ἐκεῖνον ὁρᾷ* 'daß er nur auf jenen sieht,

ἀθλητοῦ πατέρα τοῦ Ὀλύμπια[16] νενικηκότος, τὸν γείτονα δὲ, τὸν ἐκκομίζοντα τὸ παιδίον, οὐχ ὁρᾷ οὐδὲ οἶδεν ἀφ' οἵας αὐτῷ[17] κρόκης ἐκρέματο. Τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς, ὅσοι εἰσί, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπολαῦσαι αὐτῶν, καλουμένους ὑφ' ὧν[18] εἶπον τῶν ἀγγέλων τε καὶ τῶν ὑπηρετῶν.

18. *ΧΑΡ.* Ὁρῶ ταῦτα πάντα καὶ πρὸς ἐμαυτὸν ἐννοῶ, ὅ,τι[1] τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερόμενοι ἀγανακτοῦσιν. Ἢν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω[2] τοῦ ἀβεβαίου[3] καὶ, ὡς φῄς[4], ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προσόντα αὐτοῖς, φόβους καὶ ταραχὰς καὶ μίση καὶ ἐπιβουλὰς καὶ ὀργὰς καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξύνεισιν· ἐῶ πένθη καὶ νόσους καὶ πάθη, ἐξ ἰσοτιμίας[5] δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου[6] δὲ τὰ τούτων[7] πονηρά, λογίζεσθαι καιρός, οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

19. Ἐθέλω δ' οὖν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταράττοντι ἀνισταμένας; τὰς φυσαλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός. Ἐκείνων τοίνυν τινὲς μὲν μικραί εἰσι καὶ αὐτίκα[1] ἐκραγεῖσαι ἀπέσβησαν[2], αἱ δ' ἐπὶ πλέον διαρκοῦσι, καὶ προσχωρουσῶν

---

nur jenen im Auge hat.' 16) s. S. 99, 4. 17) sc. *τῷ γείτονι* 'und er bedenkt nicht, an einem wie schwachen Lebensfaden ihm (d. h. dem Nachbar) sein Kind hieng.' 18) *ὑφ' ὧν*, Attraction für: *ὑπὸ τῶν ἀγγέλων οὓς εἶπον*. Steht in solchen Fällen das Substantiv mit Artikel im Relativsatze, so erscheint es eigentlich als nähere Bestimmung des vorausgehenden Relativs: 'gerufen von denen, die ich nannte, neml. von den Boten und Dienern des Todes.'

18. 1) *ὅ,τι* statt *τί* wegen der indirecten Frage. 2) abgesehen von; mit *ἔξω* beginnt der Nachsatz. 3) *τὸ ἀβ. τῆς τύχης*, die Unbeständigkeit des Glücks, s. S. 115, 16. 4) *ὡς φῄς* bezieht sich auf die Schilderungen, die Hermes c. 13. von dem raschen Glückswechsel im Leben der Könige gemacht hatte. 5) in gleichem Maße, wie über andere Sterbliche. 6) *ὅπου — πονηρά* 'während, da nun aber schon die Lage dieser schlecht ist.' 7) *τούτων*, sc. *τῶν βασιλέων*.

19. 1) *αὐτίκα — ἐκραγεῖσαι* (*ἐκρήγνυμι*): *αὐτίκα* mit Partic. entspricht dem lat. simulac. 2) Der Aorist wird im Griech. häufig angewendet, wo der Deutsche das Präsens gebraucht, besonders in Vergleichungen und allgemeinen Sentenzen, weil dergleichen Fälle aus der allgemeinen Erfahrung entnommen sind, und daher sich schon wirklich einmal ereignet haben; vgl. Buttm. §. 137, A. 5. Doch auch in diesen Fällen findet ein Wechsel zwischen

αὐταῖς τῶν ἄλλων αὗται ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται. εἶτα μέντοι κἀκεῖναι πάντως ἐξερράγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι. Τοῦτό ἐστιν ὁ ἀνθρώπου βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι οἱ μὲν μείζους, οἱ δ' ἐλάττους[3]· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ συστῆναι ἐπαύσαντο· πᾶσι δ' οὖν ἀπορραγῆναι ἀναγκαῖον.

ΕΡΜ. Οὐδὲν χεῖρον σὺ τοῦ Ὁμήρου[4] εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

20. ΧΑΡ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι, καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους, ἀρχῶν πέρι[1] καὶ τιμῶν καὶ κτήσεων ἁμιλλώμενοι, ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς δεήσει, ἕνα ὀβολὸν[2] ἔχοντας, ἥκειν παρ' ἡμᾶς. Βούλει οὖν, ἐπείπερ ἐφ' ὑψηλοῦ ἐσμεν, ἀναβοήσας παμμέγεθες[3] παραινέσω[4] αὐτοῖς ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων· 'Ὦ μάταιοι, τί ἐσπουδάκατε[5] περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, οὐδ' ἂν ἀπαγάγοι τις αὐτῶν τι σὺν αὐτῷ ἀποθανών, ἀλλ' ἀνάγκη αὐτὸν μεν γυμνὸν[6] οἴχεσθαι, τὴν οἰκίαν δὲ καὶ τὸν ἀγρὸν καὶ τὸ χρυσίον ἀεὶ ἄλλων[7] εἶναι καὶ μεταβάλλειν τοὺς δεσπότας.' Εἰ ταῦτα καὶ τὰ τοιαῦτα ἐξ ἐπηκόου ἐμβοήσαιμι αὐτοῖς, οὐκ

Aorist und Präsens in den Hauptsätzen statt, wie in diesem Gleichnisse dreimal der Aorist und sonst Präsens steht; jener, um das schnelle, plötzliche Eintreten oder den raschen Verlauf einer Handlung hervorzuheben (was man in der deutschen Uebersetzung nicht vernachlässigen möge), dieses, um die Dauer, die langsame Entwicklung, das allmählige Fortschreiten einer Handlung zu bezeichnen, z. B. Demosth. Olynth. I. §. 11. *ἐὰν μέν, ὅσ' ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τὴν χάριν.* 'Wenn, was einer erhalten hat, er auch bewahrt, so zollt er dem Glücke großen Dank; doch geht es unvermerkt verloren, so ist in einem Nu auch der Dank dahin.' Vgl. Dem. Olynth. II, §. 9 f. §. 21. Hom. Iliad. II, 455—483. XVII, 60—67. 3) *μείζους* und *ἐλάττους* sind Prädicate, wo der Deutsche Adverbia gebraucht: die einen mehr, die andern weniger. Ebenso hieß es oben c. 3. *τὸ κῦμα ὑψηλὸν αἴρεται*, die Welle hebt sich hoch empor. 4) Iliad. VI, 146 ff. *οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.*

20. 1) *πέρι* s. Anm. 11, c. 4. 2) Den Todten steckte man einen Obolos als Fahrgeld für den Charon in den Mund; s. oben c. 11. 3) *παμμέγεθες ἀναβοᾶν*, laut, kräftig schreien; so unten *ὀξὺ δέρκεσθαι*, scharf sehen. 4) *παραινέσω*, Conj. Aor. s. A. 8, c. 9. 5) Perfect mit verstärkter Präsensbedeutung: was bemüht ihr euch so eifrig um dieses? In derselben Bedeutung ist unten c. 22. *πεπιστεύκασι* gebraucht. 6) s. Anm. 14 zu c. 14.

ἂν[8] οἴει μεγάλα ὠφεληθῆναι τὸν βίον καὶ σωφρονεστέρους ἂν γενέσθαι παρὰ πολύ;

21. ΕΡΜ. Ὦ μακάριε, οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα· τοσούτῳ κηρῷ ἔβυσαν[1] αὐτά, οἷόνπερ ὁ Ὀδυσσεὺς[2] τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως. Πόθεν οὖν ἂν ἐκεῖνοι ἀκοῦσαι δυνηθεῖεν, ἢν καὶ σὺ κεκραγὼς διαρραγῇς; ὅπερ γὰρ παρ' ὑμῖν ἡ Λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίνοντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα καὶ κατεγνωκότες οἷά ἐστιν.

ΧΑΡ. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσωμεν;

ΕΡΜ. Περιττὸν καὶ τοῦτο, λέγειν[3] πρὸς αὐτοὺς ἃ ἴσασιν. Ὁρᾷς, ὅπως ἀποστάντες[4] τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς[5], ἀλλὰ δῆλοί[6] εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς[7] ἀπὸ τοῦ βίου; καὶ γὰρ καὶ[8] μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας.

ΧΑΡ. Εὖγε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσίν, ὦ Ἑρμῆ.

ΕΡΜ. Ἱκανοὶ καὶ οὗτοι· ἀλλὰ κατίωμεν ἤδη.

22. ΧΑΡ. Ἓν ἔτι ἐπόθουν[1], ὦ Ἑρμῆ, εἰδέναι (καί μοι δείξας αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιημένος[2]), τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι[3], θεάσασθαι[4].

ΕΡΜ. Ἠρία, ὦ Χάρων, καὶ τύμβους καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα[5] τὰ χώματα ὁρᾷς καὶ τὰς στήλας καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα καὶ σωματοφυλάκιά εἰσι.

---

7) ἄλλων Gen. des Besitzes; s. Buttm. §. 132, 7. 8) ἂν gehört zu ὠφεληθῆναι (= ὠφεληθείη ἂν ὁ βίος).

21. 1) d. i. so dicht ist das Wachs, mit dem sie ihre Ohren verstopft (βυνέω) haben. Ueber die Form der Rede s. A. 8 zu cap. 4. 2) Hom. Odyss. XII, 173—177. 3) λέγειν, nähere Bestimmung von τοῦτο: 'überflüssig ist auch dies, neml. ihnen zu sagen ꝛc.' 4) getrennt, abgesondert von der Menge. 5) sc. τοῖς γιγνομένοις. 6) Buttm. §. 151. I, 7. 7) d. i. in die Unterwelt. 8) καὶ γάρ, denn auch; das zweite καί ist steigernd und gehört zu μισοῦνται: sie werden sogar gehaßt.

22. 1) s. zu c. 6, Anm. 6. 2) s. zu c. 12, Anm. 10. 3) scil. τὰ σώματα. Ἵνα ist hier Localadverb: ubi. 4) θεάσασθαι steht zu εἰδέναι als nähere Bestimmung. 'Eines noch wünschte ich kennen zu lernen, neml. die

ΧΑΡ. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους καὶ χρίουσι μύρῳ[6]; οἱ δὲ καὶ πυρὰν νήσαντες πρὸ τῶν χωμάτων καὶ βόθρον τινὰ ὀρύξαντες καίουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα, καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι[7], ἐκχέουσιν.

ΕΡΜ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα πρὸς[8] τοὺς ἐν Ἅιδου· πεπιστεύκασι γοῦν τὰς ψυχὰς ἀναπεμπομένας κάτωθεν δειπνεῖν μέν, ὡς οἷόν τε, περιπετομένας τὴν κνῖσαν καὶ τὸν καπνόν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρατον.

ΧΑΡ. Ἐκείνους ἔτι πίνειν[9] ἢ ἐσθίειν, ὧν τὰ κρανία ξηρότατα; καίτοι γελοῖός[10] εἰμι σοὶ λέγων ταῦτα, ὁσημέραι κατάγοντι αὐτούς. Οἶσθα οὖν, εἰ δύναιντ' ἂν[11] ἔτι ἀνελθεῖν, ἅπαξ ὑποχθόνιοι γενόμενοι· ἐπεί τοι καὶ παγγέλοι' ἄν, ὦ Ἑρμῆ, ἔπασχες, οὐκ ὀλίγα πράγματα ἔχων, εἰ ἔδει μὴ κατάγειν μόνον αὐτούς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους[12]. Ὦ μάταιοι τῆς ἀνοίας[13], οὐκ εἰδότες, ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν καὶ τὰ ζώντων πράγματα, καὶ οἷα τὰ παρ' ἡμῖν ἐστι, καὶ ὅτι[14]

κάτθαν'[15] ὁμῶς ὅ τ' ἄτυμβος ἀνὴρ ὅς τ'[16] ἔλλαχε[17] τύμβου,
ἐν δὲ ἰῇ[18] τιμῇ Ἶρος[19] κρείων τ' Ἀγαμέμνων,
Θερσίτῃ δ' ἶσος Θέτιδος παῖς ἠϋκόμοιο[20].

Beerdigungsplätze zu sehen.' 5) dort die Erdaufwürfe. In den meisten hellenischen Staaten mußten die Begräbnißstätten sich außerhalb der Stadtmauern befinden. 6) Außer der Sitte, die Leichensteine mit Blumen zu bekränzen und sie mit wohlriechenden Oelen zu salben, verbrannte man auch auf dem Scheiterhaufen leckere Speisen und andere kostbare Dinge, und goß in Gruben Trankopfer (*χόαι τρίσπονδοι*) von Wein und einem Gemisch von Honig und Milch, *μελίκρατον*. 7) *ὡς γοῦν εἰκάσαι* 'wie wenigstens zu vermuthen ist, wie es den Anschein hat.' 8) *τί ταῦτα πρός* ꝛc. 'was dies helfen soll denen in der Unterwelt, was sie davon haben;' ähnlich ist das lat. **quid hoc ad me?** 9) jene sollten noch trinken? Infinit. zum Ausdruck der Verwunderung; s. Buttm. §. 141, A. 7. 10) *γελοῖός εἰμι λέγων* statt *γελοῖόν ἐστιν ὅτι λέγω.* 11) *εἰ δύναιντ' ἄν*, ob sie wohl im Stande wären. 12) zum Trinken; s. Buttm. §. 144, 3. 13) *ὦ μάταιοι τῆς ἀνοίας* ist nicht als Ausruf zu fassen (sonst müßte *ὦ* geschrieben werden; s. Buttm. §. 117, A. 5), sondern als Apostrophe: o ihr eitlen Thoren! 14) die folgenden Verse sind aus verschiedenen homerischen Stellen mit mannichfachen Abänderungen zusammengesetzt. 15) d. i. *κατέθανε*, s. Buttm. §. 117, A. 2. 16) *τέ — τέ*, sowohl — als auch. 17) statt *ἔλαχε*; s. Buttm. §. 83, A. 2. 18) von *ἴα*, was epische Nebenform für *μία* ist. 19) Iros war ein armseliger Bettler, Odyss. XVIII, 1 ff.; Thersites der häßlichste und feigste im Heere der Griechen, Iliad. II, 212 ff., wie Achilleus, der Sohn der Thetis, der schönste und tapferste war. 20) Buttm. §. 35, A. 4.

πάντες δ' εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα,
γυμνοί τε ξηροί τε κατ' ἀσφοδελὸν λειμῶνα.

23. **ΕΡΜ.** *Ἡράκλεις, ὡς πολὺν*[1] *τὸν Ὅμηρον ἐπαντλεῖς. Ἀλλ' ἐπείπερ ἀνέμνησάς με, ἐθέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον. Ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνό ἐστι τὸ Τρωϊκόν, ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ.*

ΧΑΡ. *Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. Τὰς πόλεις δὲ τὰς ἐπισήμους δεῖξόν μοι ἤδη, ἃς κάτω ἀκούομεν, τὴν Νίνον τὴν Σαρδαναπάλου καὶ Βαβυλῶνα καὶ Μυκήνας καὶ Κλεωνὰς καὶ τὴν Ἴλιον*[2] *αὐτήν· πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς*[3] *δέκα ὅλων ἐτῶν*[4] *μὴ νεωλκῆσαι μηδὲ διαψῦξαι τὸ σκαφίδιον.*

ΕΡΜ. *Ἡ Νίνος μέν, ὦ πορθμεῦ, ἀπόλωλεν ἤδη καὶ οὐδὲ ἴχνος ἔτι λοιπὸν αὐτῆς, οὐδ' ἂν εἴποις, ὅπου ποτὲ ἦν· ἡ Βαβυλὼν δέ σοι ἐκείνη ἐστὶν ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον*[5]*, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη ὥσπερ ἡ Νίνος. Μυκήνας δὲ καὶ Κλεωνὰς αἰσχύνομαι δεῖξαί σοι, καὶ μάλιστα τὸ Ἴλιον· ἀποπνίξεις γὰρ εὖ οἶδ' ὅτι*[6] *τὸν Ὅμηρον κατελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. Πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν δὲ τεθνᾶσι καὶ αὗται· ἀποθνήσκουσι γάρ, ὦ πορθμεῦ, καὶ πόλεις ὥσπερ ἄνθρωποι, καὶ τὸ παραδοξότατον*[7]*, καὶ ποταμοὶ ὅλοι· Ἰνάχου*[8] *γοῦν οὐδὲ τάφρος ἔτι ἐν Ἄργει καταλείπεται.*

ΧΑΡ. *Παπαῖ τῶν ἐπαίνων*[9]*, Ὅμηρε, καὶ τῶν ὀνομάτων· Ἴλιος*[10] *ἱρὴ*[11] *καὶ εὐρυάγυια, καὶ ἐϋκτίμεναι Κλεωναί.*

24. *Ἀλλὰ μεταξὺ*[1] *λόγων, τίνες ἐκεῖνοί εἰσιν οἱ πολεμοῦντες, ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν;*

---

23. 1) Ueber die grammatische Stellung von *πολύς* s. A. 5 zu c. 17. 2) *Ἴλιος (ἡ)* ist die homerische Form; erst später sagte man *Ἴλιον*. 3) s. A. 4, c. 9. 4) der Gen. auf die Frage in (innerhalb) welcher Zeit, wie oben c. 2, A. 5. 5) s. A. 6, c. 9. 6) s. A. 7, c. 1. 7) *καὶ τὸ παραδ.* 'und was das unglaublichste ist;' s. Buttm. §. 151, IV, 10. 8) Nach einer Sage entzog Poseidon in Folge eines Streites dem Inachus das Gewässer; s. Pausan. II, 15, 5. 9) *παπαῖ τ. ἐπ.* ach und weh über deine Lobhudeleien, d. i. wie schlecht steht es mit deinen hochtrabenden Phrasen und Beiwörtern! 10) Nominativ, weil blos der Name mehrerer homerischer Wörter angeführt wird. 11) homerische Form statt *ἱερά*.

24. 1) *ἀλλὰ μεταξὺ λόγων*, eine häufige Redensart, wenn einem mitten

ΕΡΜ. Ἀργείους[2] ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους, καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον[3] στρατηγὸν Ὀθρυάδην[4], τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὑτοῦ αἵματι.

ΧΑΡ. Ὑπὲρ τίνος δ' αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος;

ΕΡΜ. Ὑπὲρ τοῦ πεδίου αὐτοῦ[5], ἐν ᾧ μάχονται.

ΧΑΡ. Ὢ τῆς ἀνοίας[6], οἵ γε οὐκ ἴσασιν, ὅτι, κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος αὐτῶν κτήσωνται[7], μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ, τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι, πολλάκις ἐκ βάθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ.

ΕΡΜ. Οὕτω μὲν ταῦτα ἔσται· ἡμεῖς δὲ καταβάντες ἤδη καὶ κατὰ χώραν[8] εὐθετήσαντες αὖθις τὰ ὄρη ἀπαλλαττώμεθα, ἐγὼ μὲν καθ' ἃ[9] ἐστάλην, σὺ δ' ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι καὶ αὐτὸς μετ' ὀλίγον νεκροστολῶν.

ΧΑΡ. Εὖ γε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἐς ἀεὶ ἀναγεγράψῃ[10]· ὠνάμην[11] τι[12] διὰ σὲ τῆς ἀποδημίας. — Οἷά[13] ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα, περὶ Χάρωνος δὲ οὐδεὶς λόγος[14].

---

im Gespräche plötzlich etwas beifällt: doch gerade fällt mir ein, das französ. mais à propos. 2) Lucian spricht von dem Kriege, den die Argiver und Lacedämonier über das Gränzgebiet Thyrea führten. 3) ἐκεῖνος hier hinweisend: dort der halbtodte. 4) Herod. I, 82. 5) selbst, gerade. 6) man ergänze αὐτῶν, worauf sich οἵ bezieht. 7) der Plural bezieht sich auf οἵ, zu welchem Subjecte als nähere Bestimmung noch die Apposition ἕκαστος αὐτῶν tritt. Die gleiche Construction findet sich auch häufig im Lat., wie z. B. Sall. Cat. c. 7. ea tempestate coepere se quisque magis extollere. 8) κατὰ χώραν: auf ihren Platz, an Ort und Stelle. 9) für κατὰ ταῦτα, καθ' ἅ 'zur Besorgung dessen, wofür ich geschickt ward.' 10) metaphorischer Ausdruck, hergenommen von der Sitte, solche Männer, die sich um einen Staat verdient gemacht hatten, dessen Wohlthäter zu heißen und diesen Namen in öffentlichen Denkmalen niederzulegen (ἀναγράφειν). Ueber das Fut. III. s. Buttm. § 138, 1. 11) ὀνίνημι. 12) τί hier prägnant: 'etwas Bedeutendes; ich habe einen ordentlichen Profit gehabt.' 13) οἷα, wie beschaffen, wie wunderlich, als Ausruf zu fassen. Diese Worte spricht Charon für sich, als sie eben hinabzusteigen beginnen; sie drücken recht eigentlich den ganzen Zweck des Dialogs aus, indem Charon mitleidig das nichtige Drängen und Treiben der Menschen belächelt, die doch einem so frühen Todesloose verfallen sind. 14) 'von Ch. ist keine Rede,' d. h. man bekümmert sich um ihn nicht, denkt nie an das sicher treffende Todesloos.

VI.

Spruchverse.

Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην[1].
Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
Ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.
Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
Αἱ δεύτεραί πως[2] *φροντίδες σοφώτεραι*[3].
Αἰσχρὸν σὺ μηδὲν πρᾶττε μηδὲ μάνθανε.
Ἃ μὴ προσήκει, μήτ' ἄκουε μηθ' ὅρα.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν[4] *φίλοι.*
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Ἀνδρὸς[5] *τὰ προσπίπτοντα γενναίως φέρειν.*
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἀνδρῶν σὺ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
Ἀνεξέταστον μὴ κόλαζε μηδένα.
Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ[6].
Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος.
Ἄνθρωπος ὢν γίγνωσκε[7] *τῆς ὀργῆς κρατεῖν.*
Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

---

1) Alle Verse, von denen das Metrum nicht besonders angegeben ist, sind sechsfüßige Jamben. 2) hier das lat. fere, so ziemlich, in der Regel. 3) sc. *εἰσί*. 4) Buttm. §. 115, A. 5. Auch hier ist *εἰσί* zu ergänzen. 5) sc. *ἐστί*. 6) *δυστυχεῖ, κἂν εὐτυχῇ*, ein sogenanntes *ὀξύμωρον* oder ein spitzfindiger Gedanke, der scheinbar einen inneren Widerspruch enthält. Diese Widersinnigkeit ist aber nur eine äußerliche, indem beim Oxymoron der eine Begriff in natürlicher, der andere in figürlicher (metaphorischer) Bedeutung erscheint. 7) entschließe dich, wenig verschieden von *βούλου*.

ὅ' πανθ' ὅσ' ὀργιζόμενος[1] ἄνθρωπος ποιεῖ,
ταῦθ' ὕστερον λάβοις[2] ἂν ἡμαρτημένα.
Ἅπαντας ἡ παίδευσις ἡμέρους τελεῖ[3].
Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γιγνώσκομεν[4].
Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.
Ἀρχῆς τετευχὼς[5] ἴσθι ταύτης ἄξιος.
Ἄσκει μὲν ἀρετήν, εὐτυχεῖν[6] δ' αἴτει θεούς.
Ἅ σοι τύχη κέχρηκε[7], ταῦτ' ἀφείλετο.
Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.
Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.
Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς.
Βέβαιος ἴσθι καὶ βεβαίοις χρῶ φίλοις.
Βέλτιόν ἐστι σῶμά[8] γ' ἢ ψυχὴν νοσεῖν.
Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Βλέπων πεπαίδευμ'[9] εἰς[10] τὰ τῶν πολλῶν κακά.
Βοηθὸς ἴσθι τοῖς καλῶς εἰργασμένοις.
Βουλὴν ἅπαντος πράγματος προλάμβανε.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Βούλου γ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.
Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
Βροτοῖς ἅπασιν ἀποθανεῖν ὀφείλεται.
Γελᾶσι μῶροι, κἄν τι μὴ γέλοιον ᾖ.
Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.
Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.
Γλώσσης μάλιστα πανταχῇ πειρῶ κρατεῖν.
Γνώμη γερόντων ἀσφαλεστέρα νέων[11].
Γονεῖς σὺ τίμα καὶ φίλους εὐεργέτει.

---

